Ὁ προφήτης Ἀμὼς γέρων στρογγυλογένης, λέγων. « *Οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν Κυρίου, καὶ αὕτη ἐστίν* ». (8).

Ὁ προφήτης Ἀβδειοὺ γέρων μιξαιπόλιος, λέγων. « *Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ λέγει Κύριος, ἀπολῶ σοφοὺς ἐκ τῆς Ἰουδαίας* » (9).

Ὁ προφήτης Ἰωνᾶς γέρων φαλακρός, λέγει. « *Ἐβόησα ἐν θλίψει μου πρὸς Κύριον τὸν Θεόν μου καὶ εἰσήκουσέ μου* » (10).

Ὁ προφήτης Μιχαίας γέρων ὀξυγένης, λέγει. « *Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, συνάξω τὴν συντετριμμένην λέγει Κύριος* ». (11).

Ὁ προφήτης Ναοὺμ γέρων κοντογένης, λέγει. *Ἀπὸ προσώπου ὀργῆς αὐτοῦ τίς ὑποστήσεται;* » (12).

Ὁ προφήτης Ἀβακοὺμ νέος ἀγένειος, λέγει. « *Κύριε εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην, Κύριε κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην· καὶ ἀντιστήσεται;* » (13).

(1) Βασιλ. δ'. κεφ. 6'. (2) Ἱερεμίας κεφ. ά. ί. (3) Βαροὺχ κεφ. 6'. 19. (4) Ἰεζεκιὴλ κεφ. λδ'. 11. (5) Δανιὴλ κεφ. 44. (6) Ὠσηὲ κεφ. ϛ'. 6. (7) Ἰωὴλ κεφ. γ'. 16. (8) Ἀμὼς κεφ. έ. 18. (9) Ἀβδειοὺ κεφ. ά. 8. (10) Ἰωνᾶς 6'. 3. (11) Μιχαίας κεφ. δ'. 6. (12) Ναοὺμ κεφ. ά. 6. (13) Προσευχ. Ἀββακοὺμ 1.

Ὁ προφήτης Σοφονίας γέρων ἀσπρογένης, λέγει. «*Ἐγγὺς ἡ ἡμέρα Κυρίου ἡ μεγάλη, ἐγγὺς καὶ ταχεῖα σφόδρα*» (1).

Ὁ προφήτης Ἀγγαῖος γέρων στρογγυλογένης, λέγει. «*Τάδε λέγει Κύριος παντοκράτωρ· θέσθε τὰς καρδίας ἡμῶν*» (2).

Ὁ προφήτης Ζαχαρίας νέος ἀγένειος, λέγει. «*Τάδε λέγει Κύριος παντοκράτωρ, ἰδοὺ ἐγὼ ἀνασώζω τὸν λαόν μου ἀπὸ γῆς ἀνατολῶν*» (3).

Ὁ προφήτης Μαλαχίας μιξαιπόλιος στρογγυλογένης, λέγει. «*Τάδε λέγει Κύριος ἀπὸ ἀνατολῶν ἡλίου καὶ ἕως δυσμῶν τὸ*» (4).

Ὁ προφήτης Γεδεὼν γέρων φαλακρὸς στρογγυλογένης, λέγει· «*Ἐὰν δρόσος γένηται ἐπὶ πόκον μόνον εἰς τὴν γῆν καὶ ἐπὶ πᾶσαν*» (5).

Ὁ προφήτης Ζαχαρίας, ὁ πατὴρ τοῦ προδρόμου γέρων μακρυγένης, φορῶν ἱερατικὴν στολὴν λέγει. «*Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ*» (6).

Ὁ προφήτης Νάθαν γέρων φαλακρὸς στρογγυλογένης.

Ὁ προφήτης Ἀχιὰ γέρων μακρυπλατυγένης.

Ὁ προφήτης Σεμέαλ γέρων στρογγυλογένης.

Ὁ προφήτης Ἰωάβ, ὃν ἐπάταξεν ὁ λέων, ἀρχιγένης.

Ὁ προφήτης Ἀζαρίας υἱὸς Ἀδεό, γέρων κατζαρομάλλης.

Ὁ προφήτης Ἀνανίας γέρων διχαλογένης.

---

(1) Σοφονίας κεφ. α' 14.— (2) Ἀγγαῖος κεφ. α. 7. — (3) Ζαχαρίας κεφ. η. 7. — (4) Μαλαχίας κεφ. α. 1.— (5) Κριτῶν κεφ. στ. 37.— (6) Λουκᾶς κεφ. α. 68.

ΕΤΕΡΑΙ ΠΡΟΦΗΤΕΙΑΙ ΕΙΣ ΤΑΣ ΔΕΣΠΟΤΙΚΑΣ ΕΟΡΤΑΣ ΚΑΙ ΕΙΣ ΤΑ ΘΑΥΜΑΤΑ ΚΑΙ ΤΑ ΠΑΘΗ ΚΤΛ.

Εἰς τὴν γέννησιν τοῦ Χριστοῦ ὁ πατριάρχης Ἰακώβ.

§ **136.** *Οὐκ ἐλλείψει ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται· καὶ αὐτὸς προσδοκίας ἐθνῶν* (1).

Ὁ Δαβίδ.

«*Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγόνες στάζουσαι ἐπὶ τὴν γῆν*» (2).

Ὁ Ἡσαΐας.

«*Παιδίον ἐγεννήθη ἡμῖν υἱὸς καὶ ἐδόθη ἡμῖν καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος*» (3).

Ὁ Ἀββακούμ.

Ὁ Θεὸς ἐκ Θαιμὰν ἥξει, καὶ ὁ ἅγιος ἐξ ὄρους Φαρὰν κατασκίου δασέος» (4).

Ὁ Μιχαίας.

«*Καὶ σὺ Βηθλεὲμ γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα*» (5).

Ὁ Μαλαχίας.

«*Ἀνατελεῖ ἡμῖν τοῖς φοβουμένοις τὸ ὄνομά μου ἥλιος δικαιοσύνης, καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ*» (6).

Ὁ Βαρούχ.

«*Οὗτος ὁ Θεὸς ἡμῶν οὐ λογισθήσεται ἕτερος πρὸς αὐτὸν μετὰ τοῦτο, ἐπὶ τῆς γῆς ὤφθη καὶ ἐν τοῖς ἀνθρώποις συνανεστράφη*» (7).

---

(1) Γεν. κεφ. μθ. 9. 10 — (2) Ψαλμ. οα'. 6. — (3) Ἡσ. κεφ. θ'. 6.—(4) Προσ. Ἀββακ. στιχ. 3. — (5) Μιχ. κεφ. έ. 2.—(6) Μαλαχ. κεφ. δ'. 2.—(7) Βαροὺχ κεφ. γ'. 36. 38.

Εἰς τὴν περιτομήν. Μωϋσῆς.

«*Καὶ παιδίον ὀκτὼ ἡμερῶν περιτμηθήσεται ὑμῖν* [1].

Εἰς τὴν Ὑπαπαντήν. Μωϋσῆς.

«*Πᾶν ἄρσεν διανοῖγον μήτραν ἅγιον τῷ Κυρίῳ κληθήσεται*» [2].

Ἕτερον.

«*Ἁγίασόν μοι πᾶν πρωτότοκον πρωτογενὲς*» *κτλ.* [3].

Εἰς τὴν εἰς Αἴγυπτον φυγὴν [Ἠσαΐας].

«*Ἰδοὺ Κύριος κάθηται ἐπὶ νεφέλης κούφης, καὶ ἥξει εἰς Αἴγυπτον καὶ σεισθήσονται τὰ χειροποίητα Αἰγύπτου*» [4].

Ὠσηέ.

«*Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν Υἱόν μου*» [5].

Εἰς τὴν βρεφοκτονίαν, ὁ Ἱερεμίας.

«*Φωνὴ ἐν Ῥαμᾷ ἠκούσθη θρῆνος καὶ κλαυθμὸς καὶ ὀδυρμὸς πολὺς*» *κτλ.* [6].

Εἰς τὴν βάπτισιν. Δαβίδ.

«*Εἴδοσάν σε ὕδατα ὁ Θεός, εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν*» [7].

Ἡσαΐας.

«*Λούσασθε καὶ καθαροὶ γένεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν*» [8].

Ἱερεμίας.

«*Ἀπόπλυνε ἀπὸ κακίας τὴν καρδίαν σου Ἱερουσαλήμ*» [9].

---

(1) Γενεσ. κεφ. ιζ'. 12. — (2) Ἐξοδ. κεφ. ιγ'. 2 πρβλ. καὶ Λουκ. δ'. 23—(3) Ἐξοδ. κεφ. ιγ'. 2. — (4) Ἡσαΐας κεφ. ιθ' 1. — (5) Ὠσηὲ κεφ. ιά. 1. Ματθ. κεφ. β'. 15.— (6) Ἱερεμ. κεφ. λά. 15. Ματθ, β'. 18. — (7) Δαβὶδ Ψαλ. — (8) Ἡσαΐας κεφ. ά. 16.—(9) Ἱερεμ. κεφ. δ'. 14.

Ναούμ.

«Τάδε λέγει Κύριος· κατάρχων ὑδάτων πολλῶν» (1).

Μαλαχίας.

«Ἰδοὺ ἐγὼ ἐξαποστελῶ τὸν Ἄγγελόν μου, καὶ ἐπιβλέψεται ὁδοὺς πρὸ προσώπου μου» (2).

Ζαχαρίας.

«Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελεύσεται ὕδωρ ζῶν ἐξ Ἱερουσαλήμ» (3).

Εἰς τὰ θαύματα τοῦ Χριστοῦ. Ἠσαΐας.

«Αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβε καὶ τὰς νόσους ἐβάστασε» (4).

Εἰς τὰς παραβολάς. Δαβίδ.

«Ἀνοίξω ἐν παραβολαῖς στόμα μου κτλ.» (5).

Εἰς τὴν μεταμόρφωσιν. Δαβίδ.

«Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται» (6).

Εἰς τὴν ἔγερσιν Λαζάρου [Ὠσηέ].

«Ἐκ χειρὸς Ἅδου ῥύσομαι, καὶ ἐκ θανάτου λυτρώσομαι αὐτοὺς λέγει Κύριος» (7).

Εἰς τὴν Βαϊφόρον. Δαβίδ.

«Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον» (8).

Ζαχαρίας.

«Χαῖρε σφόδρα θύγατερ Σιών. Ἰδοὺ γὰρ ὁ Βασιλεύς σου ἔρχεταί σοι ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον» (9).

---

(1) Ναούμ. κεφ. ά. 12.—(2) Μαλαχ. κεφ. δ'. 1.— (3) Ζαχ. κεφ. ιδ'. 8.— (4) Ἡσαΐας κεφ. νγ'. 14.— (5) Ψαλμ. οζ'. 2.— (6) Ψαλ. πή. 13.— (7) Ὠσηέ, κεφ. ιγ'. 13.— (8) Ψαλμ. ή. 3. (9) Ζαχ. κεφ. θ', 9.

Εἰς τὴν ἐκ τοῦ ἱεροῦ ἐξέλασιν τῶν κολλυβιστῶν κτλ. Ἡσαΐας.

«Ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται πᾶσι τοῖς ἔθνεσιν εἶπε Κύριος» (1).

Εἰς τὸν Δεῖπνον τὸν μυστικόν. Ἱερεμίας.

«Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ διαθήσομαι τῷ οἴκῳ Ἰσραήλ» (2).

Εἰς τὴν συμφωνίαν Ἰούδα Ζαχαρίας.

«Καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργυρίους» (3).

Εἰς τὴν προδοσίαν. Δαβίδ.

«Ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν» (4).

Εἰς τὴν κρίσιν Ἄννα καὶ Καϊάφα. Δαβίδ.

«Ἀναστάντες μοι μάρτυρες ἄδικοι ἃ οὐκ ἐγίνωσκον ἠρώτων» (5).

Εἰς τὴν μεταμέλειαν. Ἰούδα Ἱερεμίας.

«Καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια τὴν τιμὴν τοῦ τετιμημένου» (6).

Εἰς τὴν κρίσιν Πιλάτου. Δαβίδ.

«Ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν καινά;» (7)

Εἰς τὴν μαστίγωσιν. Ἡσαΐας.

«Τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας, καὶ τὰς σιαγόνας μου εἰς ῥαπίσματα» (8).

Εἰς τὸν ἐμπαιγμόν. Δαβίδ.

«Παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγεννήθην ὄνειδος» (9).

---

(1) Ἡσαΐας κεφ. νς'. 7.—(2) Ἱερ. κεφ. λζ'. 31.—(3) Ζαχαρ. κεφ. ιά. 12.—(4) Ψαλμ. μ'. 10.—(5) Ψαλμ. λδ'. 11.—(6) Παράβαλε Ματθ. κεφ. κζ'. 9.—(7) Ψαλ. β'. 1.—(8) Ἡσαΐας κεφ. γ'. 6.—(9) Ψαλμ. λ'. 12.

Εἰς τὸ ἑλκόμενος ἐπὶ σταυροῦ. Ἱερεμίας.

«Ἐγὼ ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι» (1).

Εἰς τὴν ἀνάβασιν τοῦ σταυροῦ. Ἡσαΐας.

«Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος» (2).

Εἰς τὴν σταύρωσιν. Μωϋσῆς.

«Ὄψεσθε τὴν ζωὴν ὑμῶν κρεμαμένην ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν» (3).

Δαβίδ.

«Ὤρυξαν χεῖράς μου καὶ πόδας μου» (4).

Ἡσαΐας.

«Παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη» (5).

Εἰς τὴν ἀποκαθήλωσιν. Ἡσαΐας.

«Ἀπὸ προσώπου ἀδικίας ἦρται ὁ δίκαιος» (6).

Εἰς τὸν ἐνταφιασμόν. Ἰακώβ.

«Ἀναπεσὼν ἐκοιμήθη ὡς λέων, καὶ ὡς σκύμνος, τίς ἐγερεῖ αὐτόν; (7).

Δαβίδ.

«Ἐξεγέρθητι ἵνα τί ὑπνοῖς Κύριε;» (8).

Σολομών.

«Ἐγὼ καθεύδω καὶ ἡ καρδία μου ἀγρυπνεῖ» (9).

---

(1) Ἱερεμ. κεφ. ιά. 19—(2) Ἡσαΐας κεφ. νγ'. 7.—(3) Λευϊτικὸν κεφ. κή. 64.—(4) Δαβὶδ ψαλμ. κά. 18.—(5) Ἡσ. κεφ. νγ'. 12 (6) Ἡσ. κεφ. νζ'. 1.—(7) Γεν. κεφ. μθ'. 9.—(8) Ψαλμ. μγ'. 24.—(9) Σολ. Ἆσμα Ἀσμάτων, κεφ. ε'. 2.

Ἡσαΐας

«*Ἔσται ἐν εἰρήνῃ ἡ ταφὴ αὐτοῦ*» (1).

Εἰς τὴν εἰς Ἅδου κάθοδον. Ἡσαΐας.

«*Ἅδης κάτωθεν ἐπικράνθη συναντήσας*» (2).

Ὠσηέ.

«*Ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀνασταθησόμεθα*» (3).

Εἰς τὴν Ἀνάστασιν. Δαβίδ.

«*Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ*» (4).

Σοφονίας.

«*Τάδε λέγει Κύριος, ὑπόμεινόν με εἰς ἡμέραν ἀναστάσεώς μου*» (5).

Εἰς τὰς Μυροφόρους. Ἡσαΐας.

«*Γυναῖκες ἀρχόμεναι ἀπὸ θέας Δεῦτε*» (6).

Εἰς τὴν Ἀνάληψιν. Δαβίδ.

«*Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ Κύριος ἐν φωνῇ σάλπιγγος*» (7).

Ζαχαρίας.

«*Ἰδοὺ ἡμέρα ἔρχεται καὶ στήσονται οἱ πόδες Κυρίου εἰς τὸ ὄρος ἐλαιῶν τὸ κατέναντι Ἱερουσαλὴμ* (8).

Εἰς τὴν πεντηκοστήν. Ἰωήλ.

«*Ἐκχεῶ ἀπὸ τοῦ* Πνεύματός *μου ἐπὶ πᾶσαν σάρκα καὶ προφητεύουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν*» (9).

---

(1) Ἠσ. κεφ. νζ' 2. — (2) Ἠσ. κεφ. ιδ' 9. — (3) Ὠσηὲ κεφ· ϛ' 9. — (4) Δαβὶδ ψαλ. ξζ' 2. — (5) Σοφὸν. κεφ. γ' 8. — (6) Ἠσαΐας κεφ. κζ' 11. (7) Ψαλ. μϛ'. 6. — (8) Ζαχ. κεφ. ιδ' 4. — (9) Ἰωὴλ κεφ. β' 28. πράξ. κεφ. β' 16.

Ζαχαρίας.

«Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκχεῶ ἐπὶ τὸν οἶκον Δαβίδ, καὶ ἐπὶ τοὺς κατοικοῦντας Ἱερουσαλὴμ πνεῦμα χάριτος καὶ οἰκτιρμοῦ λέγει ὁ Κύριος» (1).

ΕΤΕΡΑΙ ΠΡΟΦΗΤΕΙΑΙ ΕΙΣ ΤΑΣ ΘΕΟΜΗΤΟΡΙΚΑΣ ΕΟΡΤΑΣ.

Εἰς τὴν γέννησιν τῆς Θεοτόκου. Ἰεζεκιήλ.

§ 137. «Ἡ πύλη αὕτη κεκλεισμένη ἔσται καὶ οὐκ ἀνοιχθήσεται καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς» (2).

Εἰς τὰ εἰσόδια. Δαβίδ.

«Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς» (3).

Εἰς τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου. Δαβίδ.

«Ἄκουσον θύγατερ καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου καὶ ἐπιλάθου τοῦ λαοῦ σου» κτλ. (4).

Σολομών.

«Πολλαὶ θυγατέρες ἐκτήσαντο πλοῦτον, πολλαὶ ἐποίησαν δύναμιν σὺ δὲ ὑπέρκεισαι, καὶ ὑπερῆρας πάσας» (5).

Ἡσαΐας.

«Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἰησοῦν» (6).

Εἰς τὴν Κοίμησιν. Δαβίδ.

«Ἀνάστηθι Κύριε εἰς τὴν ἀνάπαυσίν σου σὺ καὶ ἡ Κιβωτὸς τοῦ ἁγιάσματός σου» (7).

---

(1) Ζαχ. κεφ. ιβ' 10 — (2) Ἰεζεκιήλ. κεφ. μδ' 2. — (3) Ψαλμ. μδ' 15. — (4) Ψαλμ. μδ' 11. — (5) Παροιμ. Σολ. κεφ. κθ' 29. — (6) Ἡσ. κεφ. ζ' 14. — (7) Ψαλμ. ρλγ. 8.

ΟΙ ΣΟΦΟΙ ΤΩΝ ΕΛΛΗΝΩΝ ΟΣΟΙ ΕΙΠΑΝ ΠΕΡΙ ΤΗΣ ΕΝΣΑΡΚΟΥ ΟΙΚΟΝΟΜΙΑΣ ΤΟΥ ΧΡΙΣΤΟΥ.

§ 138. Ἀπολλώνιος γέρων μακροδιχαλογένης φορῶν μανδῆλι εἰς τὴν κεφαλήν, λέγει εἰς χαρτί.

Ἐγὼ καταγγέλλω ἐν τρισὶν ἕνα μόνον ὑψιμέδοντα Θεόν. Οὗ λόγος ἄφθιτος ἐν ἀδαεῖ κόρῃ ἔγκυος ἔσεται. Οὗτος γὰρ ὡς τόξον πυρφόρον ἴσος διαδραμεῖται, καὶ κόσμον ἅπαντα ζωγρήσει καὶ τῷ πατρὶ προσάξει δῶρον.

Σόλων ὁ Ἀθηναῖος γέρων στρογγυλογένης, λέγει.

Ὀψέποτε ἐπὶ τὴν πολυσχιδῆ ταύτην ἐλάσειε γῆν καὶ δίχα σφάλματος γεννήσεται σάρξ· ἀκάματος ἡ θεότης ὅρος, ἀνίατον παθῶν λύσει φθορὰν καὶ τούτῳ φθόνος γενήσεται ἐξ ἀπίστου λαοῦ· καὶ πρὸς ὕψος κρεμασθήσεται, καὶ πάντα πρᾴως πείσεται ἑκὼν φέρων.

Θουκυδίδης μιξαιπόλιος τρία χωρίζων τὸ γένειον, λέγει.

« *Ἓν μὲν Θεὸς φῶς νοερόν, καὶ τούτῳ αἴνεσις· ἐν τῷ νοὶ πάντα γὰρ παρέχει ἐκ τούτου εἰς ἕν· οὐ Θεὸς ἕτερος, οὐκ ἄγγελος, οὐ σοφία, οὐ δαίμων, οὐ θυσία, ἀλλ' εἷς μόνος Κύριός ἐστι καὶ δημιουργὸς τοῦ παντὸς, παντέλειος λόγος, γόνιμον ἐκ γονίμου, αὐτὸς ἐπὶ φύσιν γόνιμον κατελθὼν ὕδωρ ἐποίησε.*

Πλούταρχος γέρων φαλακρὸς ὀξυγένης, λέγει·

Τῷ τῶν ὅλων ὑπερτάτῳ οὐδὲν ἕτερον προσεπινοεῖται ὁ λόλος ἐξ αὐτοῦ, καὶ οὐκ ἐξ ἄλλου ἐστι· δέδεικται δὲ σαφῶς, ὅτι Θεοῦ σοφία, καὶ λόγος τέρμα περιέχει τῆς γῆς.

Πλάτων μακρυπλατυγένης γέρων, λέγει.

Ὁ παλαιὸς νέος, καὶ ὁ νέος ἀρχαῖος ὁ πατὴρ ἐν τῷ γόνῳ καὶ ὁ γόνος ἐν τῷ πατρί· τὸ ἓν διαιρεῖται εἰς τρία, καὶ τὰ τρία εἰς ἕν.

Ἀριστοτέλης γέρων βουρλογένης, λέγει.

Ἀκάματος φύσει Θεοῦ γέννησις· ἐξ αὐτοῦ γὰρ ὁ αὐτὸς οὐσιοῦται λόγος ».

Φίλων φιλολόγος γέρων φαλακρὸς μαυροδιχαλογένης, λέγει.

Οὗτός ἐστι καθ' ὑπὲρ οὐρανὸν μεγάλον βεβηκὼς, φλογὸς ὑπερβάλλων ἀέκανον, καὶ πῦρ ἀθάνατον, ὃν τρέμουσιν οὐρανοὶ γαῖά τε καὶ θάλαττα, βαθὺς, τάρταρος, δαίμονες· ἦν δὲ αὐτοπάτωρ, ἀπάτωρ τρισόλβιος.

Σοφοκλῆς γέρων φαλακρὸς, εἰς πέντε χωρίζων τὸ γένειον, λέγει.

Ἔστι Θεὸς ἄναρχος ἁπλοῦς τῇ φύσει, ὃς οὐρανὸν ἔτευξεν ἅμα καὶ χθόνια.

Θούλης ὁ βασιλεὺς τῆς Αἰγύπτου γέρων πλατυγένης, λέγει.

Ὁ πατὴρ γόνος καὶ ὁ γόνος πατὴρ, ἄσαρκος γέγονε Θεὸς ὑπάρχων.

Ὁ Μάντις Βαλαὰμ γέρων στρογγυλογένης, φορῶν μανδῆλι εἰς τὴν κεφαλὴν λέγει.

Ἀνατελεῖ ἄστρον ἐξ Ἰακὼβ, ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραὴλ, καὶ θραύσει τοὺς ἀρχηγοὺς Μωάβ. (1)

Ἡ σοφὸς Σιβίλλα.

Ἥξει οὐρανόθεν βασιλεὺς αἰώνων, μέλλων κρῖναι πᾶσαν σάρκα καὶ κόσμον ἅπαντα.

Ἐκ μητρονύμφου παναμώμου Παρθένου.

Μέλλει παρεῖναι τοῦ Θεοῦ μόνος γόνος.

Ἄναρχος ἀπρόσιτος εἷς Θεὸς λόγος.

Ὃν οὐρανοὶ τρέμουσιν ἄνθρωποι νόες.



ΙΖ'. ΥΠΟΘΕΣΕΙΣ ΕΚ ΤΟΥ ΙΣΑΪΟΥ ΤΟΥ ΠΡΟΦΗΤΟΥ.

Πῶς ἱστορίζεται ἡ ῥίζα τοῦ Ἰεσσαί (2).

§ 139. Ὁ δίκαιος Ἰεσσαὶ κοιμώμενος, καὶ ὑποκάτωθεν τῆς πλάτης αὐτοῦ ἐξέρχονται τρεῖς κλῶνοι οἱ δύο μικροὶ περικυκλόνοννες αὐτόν· ὁ δὲ ἄλλος μέγας ἀνερχόμενος ἄνω, καὶ ἐν αὐτῷ, εἰσὶ περι-

(1) Ἀριθμοὶ κεφ. κδ'. 17'—(2) Ἡσαΐας κεφ. ιά. 10.

πλεγμένοι οἱ βασιλεῖς τῶν Ἑβραίων ἀπὸ Δαβὶδ ἕως Χριστοῦ. Πρῶτον ὁ Δαβὶδ βαστῶν τὴν κινύραν, εἶτα ὁ Σολομών, ἐπάνωθεν τοῦ Σολομῶντος οἱ λοιποὶ βασιλεῖς κατὰ τάξιν βαστάζοντες σκῆπτρα· καὶ εἰς τὴν κορυφὴν τοῦ κλάδου ἡ γέννησις τοῦ Χριστοῦ καὶ ἀπὸ τὸ ἕνα μέρος καὶ τὸ ἄλλο οἱ προφῆται μὲ τὰς προφητείας των, καὶ αὐτοὶ εἰς κλάδους περιπλεγμένοι, καὶ βλέποντες τὸν Χριστόν, καὶ δεικνύοντες αὐτόν· καὶ ὑποκάτωθεν τῶν προφητῶν οἱ σοφοὶ τῶν Ἑλλήνων, καὶ ὁ μάντις Βαλαὰμ βαστάζοντες τὰς ῥήσεις αὐτῶν καὶ βλέποντες ἄνω δεικνύουσιν εἰς τὴν γέννησιν τοῦ Χριστοῦ.

ΙΗ΄. ΥΠΟΘΕΣΕΙΣ ΕΚ ΤΟΥ ΣΥΜΒΟΛΟΥ ΤΗΣ ΠΙΣΤΕΩΣ.

Περὶ τοῦ πῶς νὰ ἱστορήσῃς τὰ ΙΒ΄. ἄρθρα τοῦ Συμβόλου τῆς Πίστεως.

Α΄. *Πιστεύω εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα κτλ.*

§ **140.** Ποίησον πρῶτον τὸν ἄναρχον πατέρα μὲ λευκὴν γενειάδα καὶ λευκὰ φορέματα μὲ νεφέλας περικυκλωμένον, ὅλον φῶς, καὶ ἀγγέλους θαυμάζοντας τριγύρω του καὶ σελήνην καὶ ἥλιον καὶ ἀστέρας καὶ τὴν γῆν ὡς σφαῖραν μὲ τὰ ἐν αὐτοῖς καὶ τὸν Θεὸν προστάζοντα.

Β΄. *Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ κτλ.*

§ **141.** Ποίησον θρόνον πύρινον ἐκ τροχῶν πυρίνων περιπεπλεγμένον καὶ μὲ πτέρυγας ἓξ ἕκαστος τροχὸς καὶ ὄμματα μεταξὺ τῶν πτερύγων καὶ τὸν Ἰησοῦν Χριστὸν καθήμενον ἐπ' αὐτοῦ ὁμοῦ μὲ τὸν πατέρα ἀστράπτοντας· τὸ δὲ ἅγιον πνεῦμα ἀκτινοβολοῦν εἰς τὸν ἀέρα, καὶ ὑπὸ τοὺς πόδας του ἀγγέλους μὲ νέφη περικαλυμμένους χωρὶς χεῖρας καὶ πόδας, καὶ πάλιν ἄλλους ψάλλοντας τὸ ἅγιος, ἅγιος, ἅγιος.

Γ΄. *Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν κτλ.*

§ **142.** Ποίησον τὴν Παναγίαν προσευχομένην ἔχουσαν εἰς τοὺς πόδας της λυχνίαν, στάμνον, ῥάβδον ἀνθισμένην, λαβίδα, πόκον, κλίμακα καὶ λίθον· καὶ εἰς τὴν κορυφήν της τὸ ἅγιον Πνεῦμα πετόμενον καὶ φωτίζον τὴν Παναγίαν μὲ τὰς ἀκτῖνάς του φαίνεται ὅλως πῦρ·

καὶ τριγύρω της ἄγγελοι μὲ σέβας θαυμάζοντες, καὶ πάλιν ἄλλοι ἄγγελοι πετόμενοι χαίροντες καὶ ψάλλοντες, καὶ ὁ Ἰησοῦς βρέφος μικρὸν σχηματιζόμενον διὰ τῶν ἀκτίνων, φαινόμενον καὶ μὴ φαινόμενον, ἀστράπτει εἰς τὴν κοιλίαν τῆς Θεοτόκου ἔξωθεν τῶν φορεμάτων.

Δ'. *Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου. κτλ.*

§ **143**. Ποίησον τὸν Ἰησοῦν Χριστὸν μὲ κάλαμον εἰς χεῖρας καὶ πορφύραν καὶ στέφανον ἀκάνθινον ἐμπαιζόμενον καὶ ῥαπιζόμενον ὑπὸ στρατιωτῶν, καὶ πάλιν εἰς ἄλλο μέρος τον Ἰωσήφ, τὸν Νικόδημον, τὴν Θεοτόκον, τὴν Μαγδαληνὴν καὶ τὸν Ἰωάννην θάπτοντας αὐτὸν καὶ κλαίοντας.

Ε'. *Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφάς. κτλ.*

§ **144**. Τὸν Ἰησοῦν Χριστὸν πετόμενον μὲ σημαίαν εἰς χεῖρας ὅλον ἀστράπτοντα, καὶ ἄγγελον κυλίοντα τὸν λίθον καὶ στρατιώτας ἄλλους κοιμωμένους ἄλλους κατατρομασμένους καὶ ἄλλους ἀναχωροῦντας μὲ φόβον.

ϛ'. *Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον κτλ.*

§ **145**. Ποίησον τὸν Ἰησοῦν Χριστὸν ἀναβαίνοντα εἰς τοὺς οὐρανοὺς μετὰ δόξης, καὶ ἀγγέλους σαλπίζοντας, οὐρανοὺς ἀνεῳγμένους καὶ θρόνον πύρινον φαινόμενον, καὶ ἀγγέλους καὶ ἁγίους προσκυνοῦντας αὐτόν, τοὺς δὲ ἀποστόλους ἐκστατικοὺς βλέποντας εἰς τὰ ἄνω ὁμοῦ μὲ τὴν Θεοτόκον καὶ ἀγγέλους δύο παρηγοροῦντας αὐτούς.

Ζ'. *Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας κτλ.*

§ **146**. Ποίησον τὸν Ἰησοῦν Χριστὸν εἰς θρόνον καθήμενον μὲ ἀρχιερατικὴν στολὴν καὶ μὲ σταυρὸν εἰς χεῖρας ἀστράπτοντα καὶ τὴν Παναγίαν εἰς τὰ δεξιὰ τοῦ θρόνου καὶ τὸν Πρόδρομον εἰς τὰ ἀριστερὰ παρακαλοῦντας αὐτὸν καὶ τὰ τάγματα τῶν ἀγγέλων καὶ ἁγίων τριγύρω κτλ. ὡς εἰς τὸ παγκόσμιον κριτήριον.

Η'. *Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον τὸ Κύριον τὸ Ζωοποιὸν τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον κτλ.*

§ **147**. Ποίησον τὸν ἄναρχον πατέρα φαινόμενον ἕως τὴν μέσην βλέποντα πρὸς τὰ κάτω καὶ τὸ ἅγιον Πνεῦμα ὡς περιστερὰ ἐξερχόμενον· καὶ τοὺς ἁγίους Ἀποστόλους καθημένους μετὰ τῆς Θεοτό-

κου ἐκστατικοὺς καὶ τὸ Πνεῦμα ἐπ' αὐτοὺς ῥιπτόμενον φωτίζει αὐτοὺς καὶ φαίνονται ὅλως πῦρ, καὶ προφήτας ἐν νεφέλαις φαινομένους.

Θ'. *Εἰς μίαν ἁγίαν, καθολικὴν, καὶ ἀποστολικὴν Ἐκκλησίαν.*

§ **148.** Ποίησον μίαν γυναῖκα ἐνδεδυμένην λαμπρὰ μὲ φοίνικα εἰς χεῖρας βλέπουσαν εἰς τὰ ἄνω καὶ τὸν Πέτρον καὶ Παῦλον πλησίον της, βαστῶν ὁ μὲν Πέτρος τὰ κλειδία, ὁ δὲ Παῦλος τὴν ῥομφαίαν καὶ εἰς (τοὺς) πόδας της δράκοντα μέγαν καὶ σελήνην καὶ ἄνθρωπον γέροντα καὶ πλησίον της τὰ τετράμορφα ζῶα.

Ι'. *Ὁμογογῶ ἓν Βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν,*

§ **149.** Ποίησον τὸν Ἰορδάνην, καὶ τὸν Ἰησοῦν Χριστὸν βαπτιζόμενον ὑπὸ τοῦ Προδρόμου καὶ τὸν ἄναρχον Πατέρα φαινόμενον εἰς τοὺς οὐρανοὺς μὲ πλῆθος ἀγγέλων καὶ τὸ ἅγιον Πνεῦμα ῥιπτόμενον ὡς περιστερὰ εἰς τὴν κορυφὴν τοῦ Ἰησοῦ.

ΙΑ'. *Προσδοκῶ ἀνάστασιν νεκρῶν.*

§ **150.** Ποίησον μνήματα καὶ ἀνθρώπους ἐξερχομένους μὲ διαφόρους ἡλικίας καὶ ἀγγέλους σαλπίζοντας καὶ τοὺς ἀρχαγγέλους μετὰ δόξης ἱσταμένους ἐν τῷ μέσῳ τῶν νεκρῶν (καὶ) δεικνύοντας τὸν Χριστόν· καὶ τοὺς ἀνθρώπους ἄλλους χαίροντας, ἄλλους κλαίοντας, καὶ ἄλλους ἐπικαλουμένους.

ΙΒ'. *Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος Ἀμήν.*

§ **151.** Ποίησον τὴν ἁγίαν Τριάδα εἰς θρόνον πύρινον καὶ ἀγγέλους καὶ ἁγίους μὲ διάφορα σχήματα ὑμνοῦντας καὶ δοξάζοντας αὐτὴν καὶ αὐτοὺς ὅλως φῶς.

ΙΘ'. ΥΠΟΘΕΣΕΙΣ ΕΚ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΠΡΟΣΕΥΧΗΣ.

Περὶ τοῦ πῶς νὰ ἱστορήσῃς τὸ Πάτερ ἡμῶν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς.

§ **152.** Ποίησον τὸν ἄναρχον πατέρα ἐπὶ νεφελῶν ἀκτινοβολοῦντα καὶ βλέποντα πρὸς τὰ κάτω καὶ τὰ Χερουβεὶμ ὑπὸ τοὺς πόδας του.

Ἁγιασθήτω τὸ ὄνομά σου.

§ **153.** Ποίησον τὸν ἀκοίμητον ὀφθαλμὸν τοῦ Πατρὸς καὶ τὰ Χε-

ρουβεὶμ Σεραφεὶμ καὶ τὰ λοιπὰ τάγματα τῶν ἁγίων Ἀγγέλων κύκλω τοῦ ὀφθαλμοῦ, καὶ τοὺς δώδεκα Ἀποστόλους δοξολογοῦντας, ὡς καὶ τοὺς λοιποὺς ἁγίους, προφήτας, καὶ ὁσίους καὶ λοιποὺς ὅλους ἀστράπτοντας, ἐπὶ νεφελῶν· ἔπειτα ἱστόρισον διαφόρους ἀνθρώπους μὲ διάφορα σχήματα καὶ ἡλικίας ἀτενίζοννας πρὸς τὸν ὀφθαλμὸν προσευχομένους (¹).

Ἐλθέτω ἡ Βασιλεία σου.

§ **154**. Ἱστόρισον σφαῖραν καὶ νέον ἄνθρωπον ἐπ' αὐτῆς προσευχόμενον, καὶ τὸ ἅγιον Πνεῦμα ἐπ' αὐτοῦ κατερχόμενον καὶ πλῆθος ἀγγέλων ἐπὶ νεφελῶν βλέποντες πρὸς αὐτὸν τοῦ προσφέρουν· ὁ μὲν μήτραν, ὁ δὲ πατερίτζαν, ἄλλος τὸ θεῖον δισκοπότηρον, ἄλλος σκῆπτρον, ἄλλος δάφνην, ἄλλος φοίνικα καὶ ἄλλος λαμπάδα· καὶ τὰ τετράμορφα ζῶα περὶ τὸ ἅγιον Πνεῦμα.

Γεννηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.

§ **155**. Ποίησον ἄγγελον καθήμενον ἐπὶ νεφελῶν καὶ μὲ ἔκστασιν βλέποντα πρὸς τὰ ἄνω καὶ εἰς μὲν τὴν μίαν του χεῖρα κρατῶν ζώνην χαλκίνην χαράττει μὲ τὴν ἄλλην, καὶ κύκλον τῆς γῆς εἰς τοὺς πόδας του σκεπασμένον καὶ βροχὴν καὶ ἀστραπὰς ἐκ τοῦ οὐρανοῦ κατερχόμενα, καὶ ἥλιον καὶ σελήνην καὶ ἀστέρας φαινόμενα ἐν τῷ οὐρανῷ· τὸν μὲν ἥλιον περὶ τὴν ζώνην του ἀστράπτοντα· τὴν δὲ σελήνην σκοτίζουσαν.

Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον,

§ **156**. Ποίησον ἄγγελον ἐπὶ νεφελῶν καθήμενον ἐστεφανωμένον μὲ διάφορα ἄνθη μὲ πρόσωπον χαροποιὸν ἔχοντα εἰς τὰς ἀγκάλας του δεμάτιον ἀστάχυα καὶ πλησίον τῶν ποδῶν του κάνιστρον μὲ διάφορα ὀπωρικά· καὶ [ἕτερος] ἄγγελος μὲ φοίνικα σκῆπτρον καὶ διάδημα πετώμενον σκορπᾷ ἀργύρια ἐν τῇ γῇ θάλασσα δὲ καὶ γῆ εἰς τοὺς πόδας των.

Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν· ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.

(¹) Ματθ. κεφ. ϛ'. 6 Λουκ. ιά. 2.

§ 157. Σχημάτισον ἄνθρωπον γέροντα γονατισμένον μὲ χαρτὶ εἰς χεῖρα γεγραμμένον καὶ ἐξαλείφει αὐτὰ μὲ σπογγάρι καὶ ἄγγελος πλησίον αὐτοῦ ἱστάμενος βλέπει αὐτόν, καὶ κρατεῖ μέγαν λίθον γεγραμμένον ἐξαλείφει ἐξ αὐτοῦ τὰ γεγραμμένα καὶ παλάτια μεγάλα ὑπὸ τὰ ὀπίσθια τοῦ γέροντος.

Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν.

§ 158. Ποίησον ἄνθρωπον νέον ἱστάμενον προσευχόμενον καὶ φῶς ἐξ οὐρανοῦ κατερχόμενον εἰς αὐτόν, καὶ πλησίον του θάλασσαν μὲ σειρῆνας παιζούσας διάφορα ὄργανα καὶ γυναῖκα γυμνὴν ὡραίαν [νὰ] κρατῇ αὐτὸν καὶ [νὰ] ζητῇ αὐτὸν νὰ τὸν ῥίψῃ εἰς ἁμαρτίαν καὶ δένδρον μέγα συκῆς πλησίον του καὶ δράκων ἐπ' αὐτοῦ τειλιγμένος ζητεῖ νὰ ριφθῇ κατὰ τοῦ ἀνθρώπου.

Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

§ 159. Ἱστόρισον ἄνθρωπον γέροντα μεταξὺ βράχων ἡμίγυμνον καὶ ἐζωσμένον σιδηρᾶν ζώνην καὶ τὴν ἀριστερὰν χεῖρα αὐτοῦ ἀλυσσοδεμένην ὡς καὶ τὸν ἕνα του πόδα· τὴν μὲν χεῖρα του εἰς βράχον τὸν δὲ πόδα του εἰς σφαῖραν γῆς, καὶ ἄγγελον πετώμενον [νὰ] δεικνύῃ αὐτῷ τοὺς οὐρανοὺς καὶ τὸν Πέτρον δίδοντα τὰς κλεῖς τοῦ Παραδείσου ἐπὶ νεφελῶν καὶ τοὺς τέσσαρας Εὐαγγελιστὰς δεικνύοντου τὰ θεῖα Εὐαγγέλια ἠνεῳγμένα καὶ τὸν ζωοποιὸν σταυρὸν ἀστράπτοντα μεταξὺ τῶν νεφελῶν, καὶ δαίμονες πλησίον του τοῦ προσφέρουν ἄλλος χρήματα, ἄλλος γυναῖκα, ἄλλος ποτήριον ἡδονῶν, καί αὐτὸς ἐκστατικὸς βλέπει πρὸς τοὺς οὐρανούς.

Ἀμήν. Ἀμήν. Ἀμήν.

§ 160. Ἱστόρισον καρδίαν ἀνθρώπου και τὸ ἅγιον Πνεῦμα ἐνθρονισμένον εἰς αὐτὴν καὶ τὰ τετράμορφα ζῶα εἰς αὐτὴν καὶ τὰ οὐράνια τάγματα γονατισμένα ἔμπροσθέν της καὶ φῶς πολὺ τριγύρω αὐτῆς καὶ χεὶρ Θεοῦ ἐπ' αὐτῆς ὅλως νεφελώδης.



Κ΄. ΥΠΟΘΕΣΕΙΣ ΕΚ ΤΟΥ ΘΕΙΟΥ ΚΑΙ ΙΕΡΟΥ ΕΥΑΓΓΕΛΙΟΥ.

Πῶς ἱστορίζονται αἱ δεσποτικαὶ ἑορταὶ, καὶ τὰ λοιπὰ ἔργα καὶ θαύματα τοῦ Χριστοῦ τὰ κατὰ τὸ ἱερὸν Εὐαγγέλιον.

Ὁ Εὐαγγελισμὸς τῆς Θεοτόκου (1).

§ 161. Ὀσπήτια καὶ ἡ Παναγία ἱσταμένη ἔμπροσθεν σκαμνίου, ἔχουσα ὀλίγον κλιτὴν τὴν κεφαλὴν, καὶ εἰς τὸ ἕνα χέρι βαστάζουσα μετάξι τειλιγμένον εἰς ἀδράκτι, καὶ τὴν δεξιὰ ἔχουσα ἁπλωμένην εἰς τὸν Ἄγγελον· καὶ ὁ Ἄρχων Γαβριὴλ ἔμπροσθεν αὐτῆς μὲ τὴν δεξιὰν εὐλογῶν αὐτήν, καὶ μὲ τὴν ἀριστερὰν βαστῶν κοντάρι· καὶ ἐπάνωθεν τοῦ ὀσπητίου οὐρανὸς, καὶ ἐξ αὐτοῦ κατερχόμενον τὸ ἅγιον Πνεῦμα μὲ ἀκτῖνα εἰς τὴν κεφαλὴν τῆς Παναγίας.

Ὁ Ἰωσὴφ ὁρῶν ἔγκυον τὴν Θεοτόκον τὴν ὀνειδίζει (2)

§ 162. Ὀσπήτια καὶ ἡ Παναγία ἔγκυος καὶ ἡ Ἐλισάβετ ἐκστατικὴ καὶ ἔμπροσθεν αὐτῆς ὁ Ἰωσὴφ ἀκουμβισμένος εἰς ῥάβδον μὲ τὴν μίαν χεῖρα καὶ ἔχων τὴν ἄλλην πρὸς αὐτὴν ἁπλωμένην, βλέπει αὐτὴν μὲ φοβερὸν σχῆμα.

Ὁ ἀσπασμὸς τῆς Θεοτόκου μετὰ τῆς Ἐλισάβετ (3).

§ 163. Οἶκος καὶ ἔσω ἡ Θεοτόκος καὶ ἡ Ἐλισάβετ ἀσπαζόμεναι ἀλλήλας· καὶ εἰς ἄλλο μέρος ὁ Ἰωσήφ, καὶ ὁ Ζαχαρίας ὁμιλοῦντες καὶ ὄπισθεν αὐτῶν παιδίον μικρὸν ἔχον εἰς τὸν ὦμον τοῦ δεκανίκι, καὶ εἰς τὴν ἄκρην τοῦ δεκανικίου του καλάθι κρεμασμένον· καὶ εἰς ἄλλο μέρος πάλιν παχνί, καὶ ἐν αὐτῷ μουλάρι τρώγει.

Ἡ ἐρώτησις τῶν μάγων (4).

§ 164. Παλάτι, καὶ ὁ βασιλεὺς Ἡρώδης μέσα εἰς κάμαραν καθή-

(1) Λουκᾶς κεφ. ά. 26— (2) Ματθ. κεφ. ά. 18.— (3) Λουκ. κεφ. ά. 41.— (4) Ματθ. κεφ. β΄. 1.

μενος εἰς θρόνον καὶ οἱ τρεῖς μάγοι ἔμπροσθέν του ἔχοντες τὰς χεῖρας ἁπλωμένας εἰς αὐτόν, καὶ ἔξωθεν Ἰουδαῖοι, Γραμματεῖς καὶ Φαρισσαῖοι ὁμιλοῦντες ἀλλήλοις.

Ἡ γέννησις τοῦ Χριστοῦ([1]).

§ 165. Σπήλαιον καὶ ἔσω εἰς τὸ δεξιὸν μέρος ἡ Θεοτόκος γονατιστή, καὶ βάλλουσα τὸν Χριστὸν ὡς βρέφος ἐσπαργανωμένον μέσα εἰς τὴν φάτνην, καὶ ἀριστερὰ ὁ Ἰωσὴφ γονατιστὸς ἔχων τὰ χέρια σταυρωμένα ἐμπρὸς εἰς τὸ στῆθος του· καὶ ὄπισθεν τῆς φάτνης ἕνα βῶδι καὶ ἕνα ἄλογον βλέποντα πρὸς τὸν Χριστόν, καὶ ὄπισθεν τοῦ Ἰωσὴφ καὶ τῆς Παναγίας ποιμένες βαστάζοντες ῥάβδους, καὶ βλέποντες μετὰ θάμβους τὸν Χριστόν· καὶ ἔξωθεν τοῦ σπηλαίου πρόβατα καὶ ποιμένες, ὁ ἕνας λαλῶν αὐλόν, καὶ ἕτεροι βλέποντες ἄνω μετὰ φόβου· καὶ ἐπάνωθεν αὐτῶν ἕνας ἄγγελος εὐλογῶν αὐτούς, καὶ ἀπὸ ἄλλο μέρος οἱ μάγοι μετὰ βασιλικῆς στολῆς καθήμενοι ἐπάνω εἰς ἄλογα καὶ δεικνύοντες ἀλλήλοις τὸν ἀστέρα· καὶ ἐπάνωθεν τοῦ σπηλαίου πλῆθος ἀγγέλων μέσα εἰς νέφαλα βαστάζοντες χαρτία μὲ αὐτὰ τὰ γράμματα «*δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη· ἐν ἀνθρώποις εὐδοκία*»· καὶ ἀκτῖνα μεγάλην κατερχομένην ἕως τῆς κεφαλῆς τοῦ Χριστοῦ.

Ἡ προσκύνησις τῶν Μάγων ([2]).

§ 166. Οἶκος καὶ ἡ Παναγία καθημένη εἰς σκαμνὶ βαστάζουσα ὡς βρέφος τὸν Χριστὸν εὐλογοῦντα καὶ οἱ τρεῖς Μάγοι ἔμπροσθεν αὐτῆς βαστάζοντες τὰ δῶρα μέσα εἰς χρυσᾶ κιβώτια· ἕνας ἀπ' αὐτοὺς γέρων μακρυγένης ἀσκεπὴς γονατιστὸς βλέπων τὸν Χριστόν, μὲ ἕνα χέρι βαστῶν τὸ δῶρον, καὶ μὲ τὸ ἄλλο τὴν κορῶννά του· ὁ δὲ ἄλλος ἀρχιγένης· καὶ ὁ ἕτερος ἀγένειος βλέποντες ἀλλήλοις καὶ δεικνύοντες τὸν Χριστόν, καὶ ὄπισθεν τῆς Παναγίας ὁ Ἰωσὴφ ἱστάμενος καὶ θαυμάζων· ἔξωθεν δὲ τοῦ ὀσπητίου ἕνας νέος κρατῶν τρία ἄλογα ἀπὸ νὰ σαλιβάριά των· καὶ παρέκει πάλιν ἐπάνω εἰς βουνὰ

([1]) Λουκ. κεφ. β'. 6. Μάτθ. κεφ. β'. 25.— ([2]) Μάτθ. κεφ. β'. 10.

οἱ τρεῖς μάγοι καθήμενοι εἰς τὰ ἄλογά των καὶ ὑποστρέφοντες εἰς τὴν χώραν του· καὶ ἕνας ἄγγελος ἔμπροσθεν δεικνύει αὐτοῖς τὸν δρόμον.

Ἡ Ὑπαπαντὴ τοῦ Χριστοῦ [1].

§ 167. Ναὸς καὶ κουβοῦκλι, καὶ ὑποκάτω τοῦ Κουβουκλίου τράπεζα καὶ ἐπάνω αὐτῆς θυμιατήριον χρυσοῦν καὶ ὁ ἅγιος Συμεὼν ὁ Θεοδόχος βαστάζων τὸν Χριστὸν ὡς βρέφος εἰς τὰς ἀγκάλας του, ὁ ὁποῖος εὐλογεῖ αὐτόν· καὶ ἡ Παναγία ἀπὸ τὸ ἄλλο μέρος τῆς τραπέζης ἁπλώνουσα πρὸς αὐτὸν τὰς χεῖρας· καὶ ὄπισθεν αὐτῆς ὁ Ἰωσὴφ βαστῶν εἰς τὸ ῥοῦχόν του δύο περιστεράς· καὶ πλησίον ἡ προφῆτις Ἄννα δεικνύουσα τὸν Χριστόν, λέγει εἰς χαρτὶ «*τοῦτο τὸ βρέφος τὸν οὐρανὸν καὶ τὴν γῆν ἐδημιούργησε*».

Ὁ Ἰωσὴφ μὲ τὴν Θεοτόκον φεύγει εἰς Αἴγυπτον [2].

§ 168. Βουνὰ καὶ ἡ Παναγία καθημένη εἰς πωλάρι μετὰ βρέφους, καὶ βλέπουσα ὄπισθεν τὸν Ἰωσὴφ ἔχοντα τὸ δεκανίκι μὲ τὸ ῥοῦχόν του εἰς τὸν ὦμόν του, καὶ ἕνας νέος σύρει τὸ πωλάρι ἀπὸ τὸ σχοινὶ βαστῶν καλάθι καὶ βλέπων ὄπισθεν τὴν Παναγίαν καὶ ἔμπροσθεν αὐτῶν φρούριον καὶ εἴδωλα κρημνιζόμενα, ἀπὸ τὰ τείχη του.

Ἡ βρεφοκτονία [3].

§ 169. Κάστρον καὶ ὁ Ἡρώδης καθήμενος εἰς θρόνον καὶ δύο στρατιῶται πλησίον· καὶ παρέμπροσθεν ἄλλοι πολλοὶ στρατιῶται μὲ φλάμπουρον· καὶ παρέκει πάλιν χώραις εἰς βουνά, καὶ ἐν μέσῳ αὐτῶν γυναῖκες βαστάζουσαι βρέφη· ἄλλαις φεύγουσαι καὶ κρύπτουσαι αὐτὰ ὄπισθέν των καὶ ἐμποδίζουσαι μὲ τὰς χεῖράς των τοὺς στρατιώτας νὰ μὴ θανατώσουν αὐτά· ἄλλαις καθήμεναι καὶ θρηνοῦσαι τὰ ἔμπροσθεν αὐτῶν κείμενα θανατωμένα νήπια· καὶ στρατιῶται ἄλλοι ἁρπάζοντες τὰ βρέφη ἀπὸ τὰς μητρικὰς ἀγκάλας· ἄλλοι σουβλίζοντες αὐτά· ἄλλοι ξεσχίζοντες ἄλλα, καὶ ἄλλα ἀποκεφαλίζον-

(1) Λουκ. κεφ. β'. 23.— (2). Ματθ. κεφ. β'. 14.—(3) Ματθ. κεφ. β'. 16.

τες· καὶ τὰ πλήθη τῶν νηπίων κείμενα κατὰ γῆς φονευμένα, ἄλλα μὲ σπάργανα, καὶ ἄλλα μὲ ἄλλα φορέματα. Ἡ δὲ Ἐλισάβετ βαστάζουσα τὸν Πρόδρομον ὡς βρέφος εἰς τὰς ἀγκάλας της φεύγει βλέπουσα εἰς τὰ ὀπίσω· καὶ ὄπισθεν αὐτῆς ἕνας στρατιώτης διώκων αὐτὴν μὲ ξίφος καὶ πέτρα μεγάλη ὡς βουνὸν σχισμένη ἔμπροσθέν της.

Ὁ Χριστὸς ἐτῶν δώδεκα καθήμενος μέσον τῶν διδασκάλων. (¹).

§ 170. Ναός, καὶ ἐν αὐτῷ ὁ Χριστὸς καθήμενος εἰς θρόνον, μὲ τὸ ἕνα χέρι βαστῶν χαρτὶ τειλιγμένον, καὶ τὸ ἄλλο ἔχων ἁπλωμένον, ἀμφοτέρων δὲ τῶν μερῶν αὐτοῦ Γραμματεῖς καὶ Φαρισαῖοι καθήμενοι καὶ βλέποντες ἀλλήλους καὶ ἀποροῦντες· καὶ ὄπισθεν τοῦ θρόνου ὁ Ἰωσὴφ καὶ ἡ Θεοτόκος δεικνύουσα πρὸς αὐτὸν τὸν Χριστόν.

Ὁ Χριστὸς ἐρχόμενος ἐν τῷ Ἰορδάνῃ βαπτισθῆναι (²).

§ 171. Βουνὰ καὶ κάτωθεν αὐτῶν ὁ Ἰορδάνης ποταμός, καὶ ὁ Χριστὸς ἐρχόμενος, καὶ ὁ Πρόδρομος δεικνύων αὐτὸν εἰς τοὺς λαοὺς λέγει εἰς χαρτί· « *ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου* », *κτλ.* καὶ πάλιν ὁ Χριστὸς ἱστάμενος εἰς τὴν ἄκραν τοῦ Ἰορδάνου, καὶ ὁ Πρόδρομος ἔμπροσθεν αὐτοῦ λέγων αὐτῷ εἰς χαρτὶ « *ἐγὼ ἔχω χρείαν ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με ;* » ὁ δὲ Χριστὸς εὐλογῶν αὐτὸν λέγει αὐτῷ εἰς χαρτὶ « *προφῆτα ἄφες ἄρτι· οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην* ».

Ἡ βάπτισις τοῦ Χριστοῦ (³).

§ 172. Ὁ Χριστὸς ἱστάμενος μέσον τοῦ Ἰορδάνου γυμνὸς καὶ ὁ Πρόδρομος εἰς τὴν ἄκραν τοῦ ποταμοῦ ἐκ δεξιῶν τοῦ Χριστοῦ βλέπων ἄνω, καὶ ἔχων τὴν δεξιὰν ἐπάνω τῆς κεφαλῆς τοῦ Χριστοῦ, τὴν δὲ ἀριστερὰν ἁπλωμένην ἄνω· καὶ ἐπάνωθεν οὐρανός, καὶ ἐξ

(¹) Λουκ. κεφ. β'. 46.— (²) Ματθ. κεφ. γ'. 13. Μάρκ. κεφ. ά. 9. —Ἰωάν. κεφ. ά. 26.— (³) Ματθ. κεφ. γ'. 19. Μάρκ. ά. 10. Λουκ. κεφ. γ'. 21. Ἰωάν. κεφ. ά. 29.

αὐτοῦ κατερχόμενον τὸ Πνεῦμα τὸ ἅγιον μὲ ἀκτῖνα εἰς τὴν κεφαλὴν τοῦ Χριστοῦ· καὶ μέσον τῆς ἀκτῖνος αὐτὰ τὰ γράμματα «*οὗτος ἐστὶν ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ ηὐδόκησα*» καὶ ἐξ ἀριστερῶν ἄγγελοι ἱστάμενοι εὐλαβῶς ἔχοντες ἁπλωμένα ὑποκάτω τὰ ἱμάτιά τους· καὶ ὑποκάτω τοῦ Προδρόμου μέσα εἰς τὸν Ἰορδάνην ἕνας ἄνθρωπος γυμνὸς κείμενος δίπλα καὶ βλέπων ὄπισθεν αὐτοῦ τὸν Χριστὸν μετὰ φόβου καὶ βαστῶν στάμνον χύνει ἐξ αὐτῆς νερὸν καὶ γύρωθεν τοῦ Χριστοῦ ὀψάρια.

Ὁ Χριστὸς πειραζόμενος ὑπὸ τοῦ διαβόλου. ([1]).

§ 173. Ἔρημος μὲ δένδρα καὶ ὁ Χριστὸς ἱστάμενος, καὶ ἔμπροσθεν αὐτοῦ ὁ διάβολος δεικνύων τοὺς λίθους καὶ λέγων «*εἰ υἱὸς τοῦ Θεοῦ εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται*» καὶ ὁ Χριστὸς λέγει «*οὐκ ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος*». Καὶ παρέκει ἱερὸν καὶ ἐπάνω εἰς τὴν ἄκρην τοῦ ἱεροῦ πάλιν ὁ Χριστός, καὶ ὁ διάβολος ἔμπροσθεν αὐτοῦ λέγει αὐτῷ «*εἰ ὁ υἱὸς εἶ τοῦ Θεοῦ βάλε σαυτὸν κάτω*», καὶ ὁ Χριστὸς λέγει αὐτῷ ἐν χαρτὶ «*οὐκ ἐκπειράσει κύριον τὸν Θεόν σου*«. Καὶ παρέκει ὄρος ὑψηλόν, καὶ ἐπάνω αὐτοῦ ὁ Χριστὸς καὶ ὁ διάβολος ἔμπροσθεν αὐτοῦ δεικνύων αὐτῷ ὅλας τὰς βασιλείας τοῦ κόσμου, καὶ λέγων· «*ταῦτα πάντα σοὶ δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι*»· καὶ ὁ Χριστὸς λέγει πρὸς αὐτὸν ἐν χαρτί· «*ὕπαγε ὀπίσω μου Σατανᾶ γέγραπται γάρ, Κύριον τὸν Θεόν σου προσκυνήσεις*»· καὶ ὑποκάτω τοῦ ὄρους πόλεις καὶ κάστρα, καὶ βασιλεῖς καθήμενοι εἰς τραπέζας καὶ στρατιῶται γύρωθεν αὐτῶν μὲ φλάμπουρα· καὶ παρέκει πάλιν ὁ Χριστός, καὶ ἄγγελοι γύρωθεν αὐτοῦ, ἄλλοι γονατιστοί, ἄλλοι βαστάζοντες ῥιπίδια ἐπάνωθεν αὐτοῦ· καὶ ὁ διάβολος φεύγων καὶ βλέπων εἰς τὰ ὀπίσω.

Ὁ Χριστὸς μαρτυρούμενος εἰς τοὺς μαθητὰς ὑπὸ τοῦ Προδρόμου. ([2]).

§ 174. Ὁ Πρόδρομος δεικνύων τὸν Χριστὸν εἰς τὸν Ἰωάννην καὶ

([1]) Ματθ. κεφ. δ΄. 1. Μάρκ. κεφ. ά. 13. Λουκ. κεφ. δ΄. 1. Δευτερ. κεφ. ς΄. 13.— ([2]) Ἰωάν. κέφ. ά. 35.

τὸν Ἀνδρέαν· καὶ παρέχει πάλιν ὁ Ἀνδρέας φέρων τὸν Πέτρον, καὶ ὁ Φίλιππος τὸν Ναθαναὴλ ἔμπροσθεν τοῦ Χριστοῦ.

Χριστὸς προσκαλῶν τοὺς μαθητὰς διὰ τῆς ἄγρας τῶν ἰχθύων. (1)

§ 175. Θάλασσα καὶ δύω πλοιάρια μέσα καὶ εἰς τὸ ἕνα ὁ Χριστός, καὶ ὁ Πέτρος ἔμπροσθέν του γονατιστός, καὶ ὁ Ἀνδρέας σύρνων τὸ δίκτυον· καὶ εἰς τὸ ἄλλο ὁ Ἰωάννης καὶ ὁ Ἰάκωβος μὲ τὸν πατέρα τους Ζεβεδαῖον σύρνοντες καὶ αὐτοὶ τὸ ἴδιον ὁποῦ σύρνει ὁ Ἀνδρέας ἀπὸ τὸ ἄλλο πλοιάριον, καὶ μέσα εἰς τὸ δίκτυον πλῆθος ὀψάρια καὶ σχίζουν τὸ δίκτυον.

Ὁ Χριστὸς μεταβάλλων τὸ ὕδωρ εἰς οἶνον εἰς τὸν ἐν Κανᾷ γάμον. (2).

§ 176. Τράπεζα, καὶ Γραμματεῖς καὶ Φαρισσαῖοι καθήμενοι εἰς αὐτήν· καὶ εἷς ἐξ αὐτῶν ἐνδοξότερος βαστῶν ποτήρι μὲ κρασί, καὶ ἀπορῶν· καὶ μέσον αὐτῶν ὁ νύμφιος μιξαιπόλιος στρογγυλογένης, καὶ ἡ νύμφη πλησίον αὐτοῦ φοροῦντες εἰς τὰς κεφαλάς των στέφανα ἐξ ἀνθέων καὶ ὄπισθεν αὐτῶν ἕνας νέος βαστῶν κανάτι, καὶ βάλλων εἰς τὸ ποτήριον οἶνον καὶ κάτωθεν τῆς τραπέζης ἓξ πιθάρια καὶ δύω νέοι χύνοντες μὲ δερμάτια νερὸν εἰς αὐτά· καὶ ὁ Χριστὸς καθήμενος εἰς τὴν ἄκρην τῆς τραπέζης εὐλογεῖ αὐτά· καὶ ἡ Παναγία καὶ ὁ Ἰωσὴφ πλησίον αὐτοῦ καὶ οἱ Ἀπόστολοι ὄπισθεν αὐτοῦ.

Ὁ Χριστὸς ἐρωτώμενος ὑπὸ τοῦ Νικοδήμου. (3)

§ 177. Ὁ Χριστὸς καθήμενος, καὶ ὄπισθεν αὐτοῦ οἱ Ἀπόστολοι· καὶ ὁ Νικόδημος ἔμπροσθεν αὐτοῦ καθήμενος καὶ ἐρωτῶν αὐτόν.

---

(1) Ματθ. κεφ. δ'. 19. Μάρκ. κεφ. ά. 16. Λουκ. κεφ. έ. 10.— (2) Ἰωάν. κεφ. β'. 1.— (3) Ἰωάν. κεφ. γ'. 1.

Ὁ Χριστὸς ὁμιλῶν τῇ Σαμαρείτιδι (1).

§ 178 Ὁ Χριστὸς καθήμενος εἰς πέτραν, καὶ οἱ Ἀπόστολοι ὄπισθέν του θαυμάζοντες· καὶ ἔμπροσθέν του φρέαρ, καὶ μία γυνὴ πλησίον εἰς τὸ χεῖλος τοῦ φρέατος βαστάζουσα μὲ τὴν ἀριστερὰν σκυλί, καὶ τὴν δεξιὰν ἁπλώνουσα εἰς τὸν Χριστόν· καὶ ἐμπρὸς αὐτῆς ὑδρία, καὶ ὁ Χριστὸς εὐλογῶν.

Ὁ Χριστὸς ἰώμενος τὸν υἱὸν τοῦ Βασιλίσκου(2).

§ 179. Κάστρον καὶ ὁ Χριστὸς εὐλογῶν, καὶ ὄπισθεν αὐτοῦ οἱ Ἀπόστολοι καὶ ἔμπροσθεν ἕνας ἄνθρωπος μὲ τιάραν καὶ μὲ φορέματα λαμπρά, παρακαλῶν αὐτόν· καὶ ὄπισθεν τοῦ ἀνθρώπου τρεῖς στρατιῶται βλέποντες αὐτόν, καὶ δεικνύοντες ὄπισθεν ἕνα μέγα παλάτι, μέσα εἰς τὸ ὁποῖον ἐστὶ κλίνη, καὶ ἐπάνω εἰς αὐτὴν ἕνας νέος φορῶν τὴν ζώνην του.

Ὁ Χριστὸς ἀναγινώσκων ἐν τῇ συναγωγῇ (3)

§ 180. Ναὸς καὶ ὁ Χριστὸς μέσον ἱστάμενος, κρατῶν βιβλίον μὲ τὰς δύο του χεῖρας, ἀναγινώσκων ταῦτα τὰ γράμματα «*Πνεῦμα Κυρίου ἐπ' ἐμὲ οὗ ἕνεκεν ἔχρισέ με εὐαγγελίζεσθαι πτωχοῖς*»· καὶ ἕνας νέος κείμενος πλησίον αὐτοῦ ἁπλώνων τὴν χεῖρα τάχα νὰ λάβῃ τὸ βιβλίον, καὶ γύρωθεν αὐτοῦ Γραμματεῖς καὶ Φαρισσαῖοι καθήμενοι καὶ δεικνύοντες αὐτοῖς ἀλλήλοις καὶ ἄλλος λαὸς πολὺς βλέποντες αὐτὸν μετὰ θάμβους.

Ὁ Χριστὸς ἰώμενος τὸν δαιμονιζόμενον ἐν τῇ συναγωγῇ (4).

§ 181. Ναὸς καὶ ὁ Χριστὸς ἔσω, καὶ οἱ Ἀπόστολοι, καὶ ἔμπροσθεν αὐτοῦ ἕνας νέος κείμενος κατὰ γῆς ἀφρίζων· καὶ ἕνας δαίμων ἐξερχόμενος ἀπὸ τὸ στόμα του· καὶ γύρωθεν Γραμματεῖς καὶ Φαρισσαῖοι καὶ ἄλλος λαὸς θαυμάζοντες.

---

(1) Ἰωάν. κεφ. δ'. 7. — (2) Ἰωάν. κεφ. δ'. 46. — (3) Λουκ. κεφ. δ'. 15. Ματθ. κεφ. ιγ'. 54.—Μάρκ. κεφ. ά. 21.—(4) Λουκ. κεφ. δ'. 33. Μάρκ. κεφ. ά. 23.

Ὁ Χριστὸς ἰώμενος τὸν λεπρόν ([1]).

§182 Ὄρος, καὶ ὑποκάτωθεν ὁ Χριστὸς μὲ τοὺς Ἀποστόλους, καὶ ἔμπροσθέν του ἕνας ἄνθρωπος γυμνὸς ὅλος πληγαῖς, γονατιστὸς ἐμπρὸς τοῦ Χριστοῦ· καὶ ὁ Χριστὸς βάλλει τὸ χέρι του εἰς τὴν κορυφὴν τοῦ λεπροῦ, ἀπὸ τοῦ ὁποίου τὸ στόμα πίπτουν ὡσὰν λέπια ὀψαρίου.

Ὁ Χριστὸς ἰώμενος τὸν δοῦλον τοῦ ἑκατοντάρχου ([2]).

§ Ὁ Χριστὸς μὲ τοὺς ἀποστόλους, καὶ ἕνας ἄνθρωπος στρατιωτικὰ φορεμένος γονατιστὸς ἔμπροσθέν του· καὶ μακρόθεν παλάτι καὶ ἕνας ἄνθρωπος νέος ἐγείρεται ἀπὸ κλίνης καὶ τριγύρω αὐτοῦ ἄνδρες καὶ γυναῖκες· καὶ ἕνας ἄνθρωπος ἱστάμενος πλησίον τοῦ ἑκατοντάρχου δεικνύει αὐτῷ τὸ παλάτι.

Ὁ Χριστὸς ἀνιστῶν τὸν υἱὸν τῆς χήρας ([3]).

§ 184. Φρούριον καὶ ἔξω τῆς πύλης πλῆθος ἀνθρώπων, καὶ μέσον αὐτῶν τέσσαρες ἄνθρωποι ἔχοντες κλίνην ἀποθεμένην εἰς τὴν γῆν· καὶ ἐπάνω τῆς κλίνης ἕνας ἄνθρωπος τειλιγμένος μὲ σάβανον, ὀλίγον σηκωμένος καὶ βλέπει τὸν Χριστόν· καὶ ὁ Χριστὸς μὲ τὸ ἕνα χέρι βαστῶν τὴν κλίνην, καὶ τὸ ἄλλο εὐλογεῖ τὸν νέον καὶ ὄπισθέν του οἱ Ἀπόστολοι· καὶ εἰς τοὺς πόδας του γυνὴ κλαίουσα, καὶ τραβίζουσα τὰς τρίχας τῆς κεφαλῆς της.

Ὁ Χριστὸς ἰᾶται τὴν πενθερὰν Σίμωνος ([4]).

§ 185. Οἶκος, καὶ ἡ πενθερὰ τοῦ Πέτρου γραῦς κειμένη ἐπὶ κλίνης, καὶ ὁ Χριστὸς βαστάζων αὐτὴν ἐκ τῆς χειρός, καὶ οἱ Ἀπόστολοι ὄπισθέν του.

([1]) Μάρκ. κεφ. α'. 40. Ματθ. κεφ. η'. 1. Λουκ. κεφ. ε'. 12.—([2]) Λουκ. κεφ. ζ'. 2.—([3]) Λουκ. κεφ. ζ'. 14.—([4]) Ματθ. κεφ. η'. 14. Μάρκ. κεφ. α'. 29. Λουκ. κεφ. δ'. 38.

Ὁ Χριστὸς ἰώμενος τοὺς ἐν ποικίλοις νόσοις (¹).

§ 186. Ὁ Χριστὸς ἱστάμενος εὐλογῶν, καὶ οἱ Ἀπόστολοι ὀπίσω του, καὶ πολλοὶ ἀσθενεῖς ἔμπροσθέν του, ἄλλοι κείμενοι εἰς κρεββάτια· ἄλλοι ἀκουμβιστοὶ εἰς πατερίτζας· καὶ ἄλλοι ὑπὸ ἄλλων βασταζόμενοι, τυφλοί, χωλοί, παράλυτοι.

Ὁ Χριστὸς ἐπιτιμῶν τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ(²).

§ 187. Θάλασσα ταραγμένη καὶ μέσον πλοιάριον ἀρμενίζον καὶ ὁ Χριστὸς εἰς τὴν πρύμνην κοιμώμενος καὶ ὁ Πέτρος καὶ ὁ Ἰωάννης ἐπάνωθέν του ἔχοντες πρὸς αὐτὸν ἁπλωμένα τὰ χέρια μετὰ φόβου· καὶ ὁ Ἀνδρέας κρατῶν τὸ πηδάλιον τοῦ πλοιαρίου· καὶ ὁ Φίλιππος καὶ Θωμᾶς λύοντες τὰ ἄρμενα. Καὶ πάλιν ὁ Χριστὸς εἰς τὴν μέσην τοῦ πλοίου ἁπλώνων τὰς χεῖρας κατὰ τῶν ἀνέμων καὶ ἐπιτιμῶν αὐτούς· καὶ ἄνωθεν εἰς τὰ σύννεφα οἱ ἄνεμοι φυσοῦντες εἰς τὰ ἄρμενα.

Ὁ Χριστὸς ἰώμενος τοὺς δαιμονιζομένους ἀποστέλλει τοὺς δαίμονας εἰς τοὺς χοίρους (³).

§ 188. Φρούριον, καὶ ἔξωθεν αὐτοῦ βουνὰ καὶ μνημεῖα πολλά, καὶ δύο δαιμονιζόμενοι εὐγαίνοντες ἀπὸ τὰ μνημεῖα ἔχοντες τὸ ἕνα χέρι εἰς τὴν γῆν ἀκουμβισμένον, καὶ τὸ ἄλλο ἁπλώνοντες εἰς τὸν Χριστόν· καὶ ὁ Χριστὸς μὲ τοὺς Ἀποστόλους ἱστάμενος εὐλογεῖ αὐτούς, καὶ πλῆθος δαιμόνων εὐγαίνοντες ἀπὸ τὸ στόμα των, παγαίνουν εἰς τοὺς ἐκεῖ πλησίον βόσκοντας χοίρους· ἄλλοι καβαλικεύοντες αὐτούς, ἄλλοι ἐμβαίνουν εἰς τὰ στόματα αὐτῶν· καὶ χοῖροι κρημνίζονται εἰς τὴν θάλασσαν, καὶ οἱ βοσκοὶ φεύγουν πρὸς τὸ φρούριον, βλέποντες πρὸς τὰ ὀπίσω.

(¹) Λουκ. κεφ. ε'. 40. Ματθ. κεφ. ιε'. 30. Μάρκ. κεφ. α'. 32. — (²) Ματθ. κεφ. η'. 23. Μάρκ. κεφ. ιδ'. 36. Λουκ. κεφ. η'. 22. — (³) Ματθ. κεφ. η'. 28 Μάρκ. κεφ. ε'. 2. Λουκ. κεφ. η'. 26.

Ὁ Χριστὸς ἰώμενος τὸν παράλυτον ἐν τῷ οἴκῳ [1].

§ 189. Οἶκος καὶ ὁ Χριστὸς μὲ τοὺς Ἀποστόλους του, καὶ Φαρισσαῖοι καθήμενοι, καὶ ὄχλος πολύς, καὶ ἐπάνωθεν τοῦ Χριστοῦ εἰς τὴν στέγην δύο ἄνθρωποι ἔχοντες κράββατον κρεμασμένον ἔμπροσθέν του· καὶ ἐπάνω εἰς τὸν κράββατον ἄνθρωπος ὀλίγον σηκωμένος· καὶ παρέκει πάλιν ἐν μέσῳ τοῦ ὄχλου ὁ ἴδιος ἄνθρωπος βαστῶν τὸν κράββατον εἰς τοὺς ὤμους του καὶ περιπατῶν.

Ὁ Χριστὸς προσκαλῶν τὸν Ματθαῖον ἀπὸ τοῦ τελωνείου [2].

§ 190. Ὁ Χριστὸς ἱστάμενος εἰς τὴν θύραν τοῦ τελωνείου μὲ τοὺς ἀποστόλους, καὶ ἔμπροσθέν του ὁ Ματθαῖος γονατιστός, καὶ ὄπισθεν αὐτοῦ οἶκος μὲ σεντούκια καὶ κατάστιχα καὶ καλαμάρια, καὶ ζύγι ἐπάνωθεν αὐτοῦ.

Ὁ Χριστὸς συνεσθίων τελώναις [3].

§ 191. Ὀσπήτια καὶ τράπεζα, καὶ ὁ Χριστός, καθήμενος, καὶ ἄνθρωποι, ἄλλοι μὲ καλπάκια, ἄλλοι μὲ σαρίκια, καὶ ἄλλοι ἀσκεπεῖς· καὶ ὁ Ματθαῖος μὲ δύο γυναῖκας φέροντες φαγητά· καὶ ἕνας νέος, βαστῶν ποτῆρι κερνᾷ· καὶ οἱ Ἀπόστολοι ἔξωθεν τοῦ ὀσπητίου· καὶ οἱ Φαρισσαῖοι διαλεγόμενοι μὲ αὐτοὺς καὶ δεικνύοντες τὸν Χριστόν.

Ὁ Χριστὸς ἰώμενος τὴν Αἱμορροοῦσαν[4].

§ 192. Ὁ Χριστὸς ἱστάμενος καὶ γυρίζων τὸ πρόσωπόν του ὄπισθεν εἰς τοὺς Ἀποστόλους, καὶ μία γυνὴ γονατιστὴ κρατοῦσα τὴν ποδιάν του καὶ βλέπουσα ἄνω, καὶ αὐτὸς εὐλογῶν αὐτήν, καὶ πλῆθος λαοῦ τριγύρου.

---

(1) Ματθ. κεφ. θ΄. 1. Μάρκ· κεφ. β΄. 3. Λουκ. κεφ. έ. 17.— (2) Ματθ. κεφ· θ΄. 9. Μάρκ. κεφ. β΄. 14. Λουκ. κεφ. έ. 27.— (3) Ματθ. κεφ. θ΄. 10. Μάρκ. κεφ. β΄. 15· Λουκ. κεφ. έ· 29.—(4) Ματθ. κεφ. θ΄. 20. Μάρκ. κεφ. έ. 26. Λουκ. ή. 43.

Ὁ Χριστὸς ἀνιστῶν τὴν θυγατέρα τοῦ Ἰάρου (¹).

§ **193**. Οἶκος, καὶ μία κόρη καθημένη ἐπὶ κλίνης χρυσῆς, καὶ ὁ Χριστὸς ἔμπροσθεν αὐτῆς ἱστάμενος μὲ τὴν ἀριστερὰν κρατῶν αὐτὴν ἐκ τῆς χειρός, καὶ μὲ τὴν δεξιὰν τὴν εὐλογεῖ καὶ ὀπίσω τοῦ Χριστοῦ ὁ Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης· καὶ ἀπὸ ἕνα μέρος τῆς κλίνης ἕνας ἄνθρωπος φορῶν γοῦναν καὶ εἰς τὴν κεφαλὴν μανδῆλι, καὶ ἀπὸ τὸ ἄλλο μέρος τῆς κλίνης ἡ γυνὴ αὐτοῦ κλαίουσα· καὶ ἔξωθεν τοῦ οἴκου ὄχλος πολύς.

Ὁ Χριστὸς ἰᾶται τὸν δαιμονιζόμενον κωφόν. (²).

§ **194**. Ὁ Χριστὸς μὲ τοὺς Ἀποστόλους καὶ ἔμπροσθέν του ἕνας ἄνθρωπος, καὶ δαιμόνιον ἐξερχόμενον ἀπὸ τὸ στόμα του καὶ ὁ Χριστὸς βαρτάζει τὴν δεξιάν του εἰς τὸ αὐτὶ τοῦ κωφοῦ, καὶ Γραμματεῖς καὶ Φαρισσαῖοι, καὶ ἄλλο πλῆθος τριγύρω του.

Ὁ Χριστὸς ἐρωτώμενος ὑπὸ τῶν μαθητῶν τοῦ Προδρόμου (³).

§ **195**. Ὁ Χριστὸς μὲ τοὺς δώδεκα μαθητὰς εὐλογῶν καὶ βαστῶν χαρτὶ λέγει· «*εἴπατε Ἰωάννῃ ἃ ἠκούσατε καὶ βλέπετε*». καὶ ἔμπροσθεν αὐτοῦ τυφλοί, κουτζοί, λεπροί, δαιμονιζόμενοι, καὶ δαιμόνια ἐξερχόμενα ἀπὸ τὸ στόμα των· καὶ ἄντικρυ τοῦ Χριστοῦ ὁ Ἰωάννης καὶ Ἀνδρέας κρατοῦντες χαρτὶ λέγει· «*σὺ εἶ ὁ ἐρχόμενος ἢ ἕτερον προσδοκῶμεν*;»

Ὁ Χριστὸς διερχόμενος διὰ τῶν σπορίμων (⁴)

§ **196**. Κάστρον, καὶ ἔξωθεν χωράφια μὲ ξεσταχυσμένον σιτάρι· καὶ οἱ Ἀπόστολοι ἄλλοι ξεριζόνοντες τὰ στάχυα· ἄλλοι τραβοῦν, ἄλλοι τρώγουν· καὶ εἰς τὴν ἄκραν τοῦ χωραφίου ὁ Χριστὸς βαστῶν χαρτί, λέγει· «*οὐκ ἀνέγνωτε τί ἐποίησε Δαβὶδ ὅτε ἐπείνασεν*».

(¹) Ματθ. κεφ. θ'. 23. Μάρκ. κεφ. ε. 22. Λουκ. κεφ. ή. 55.—(²) Ματθ. θ'. 32· Λουκ. κεφ. ιά. 14. — (³) Ματθ. κεφ. ιά. 2. Λουκ. κεφ. ζ'. 19. — (⁴) Ματθ. κεφ. ιβ'. 1. Λουκ. κεφ. ς'. 1. Μάρκ. β'. 23.

καὶ ἔμπροσθεν τῆς θύρας τοῦ κάστρου Φαρισσαῖοι βλέποντες πρὸς αὐτὸν, καὶ εἷς ἐξ αὐτῶν βαστῶν χαρτὶ λέγει· «τί ποιεῖται ὃ οὐκ ἔξεστι ποιεῖν ἐν τοῖς σάββασι; »

Ὁ Χριστὸς ἰώμενος τὸν ξυρὰν ἔχοντα τὴν χεῖρα (1).

§ 197. Ναὸς, καὶ μέσον ὁ Χριστὸς μὲ τοὺς μαθητάς του εὐλογῶν καὶ εἷς ἄνθρωπος ἔμπροσθεν αὐτοῦ βαστῶν τὴν μίαν χεῖρα αὐτοῦ ξηρὰν μὲ τὴν ἄλλην, καὶ δεικνύων αὐτὴν εἰς τὸν Χριστόν· καὶ ὄπισθεν αὐτοῦ Ἰουδαῖοι.

Ὁ Χριστὸς ἰώμενος τὸν δαιμονιζόμενον τυφλὸν καὶ κωφὸν (2).

§ 198. Ὁ Χριστὸς μὲ τοὺς Ἀποστόλους εὐλογῶν, καὶ ἔμπροσθεν αὐτοῦ ἕνας τυφλὸς, μὲ τὸ ἕνα χέρι βαστῶν πατερίτσαν, καὶ μὲ τὸ ἄλλο τὸ ἀφτί του, καὶ ἀπὸ τὸ στόμα του ἐξερχόμενον δαιμόνιον.

Ὁ Χριστὸς ζητούμενος ὑπὸ τῆς μητρὸς καὶ τῶν ἀδελφῶν αὐτοῦ (3).

§ 199. Ὀσπήτιον, καὶ ὁ Χριστὸς μέσον μὲ τοὺς Ἀποστόλους διδάσκων καὶ ἔξω τῆς θύρας ἡ Παναγία καὶ ὁ ἀδελφόθεος Ἰάκωβος, καὶ Συμαιὼν ὁ ἀδελφός του, ἀκόμη καὶ ἄλλοι δύω ἄνδρες, καὶ δύω γυναῖκες, καὶ ἕνας ἄνδρας πλησίον τοῦ Χριστοῦ, δεικνύων αὐτῷ ἔξω τὴν Παναγίαν.

Ὁ Χριστὸς ἰώμενος τὸν παράλυτον ἐν τῇ προβατικῇ κολυμβήθρᾳ (4).

§ 200. Ἡ κολυμβήθρα ὑποκάτω πέντε καμάρων καὶ ἕνας ἄγγελος ἔχων τὰς χεῖράς του μεσ' τὸ ὕδωρ τῆς κολυμβήθρας, καὶ δεξιὰ ὁ Χριστὸς μὲ τοὺς Ἀποστόλους εὐλογῶν· καὶ ἕνας ἄνθρωπος ἔμπροσθέν του στρογγυλογένης φορῶν κοντὸ ῥοῦχον ἕως τὰ

(1) Ματθ. κεφ. ιβ'. 10. Μάρκ. κεφ. γ'. 1 Λουκ. κεφ. ς'. 6 — (2) Ματθ. κεφ. ιβ'. 22. — (3) Ματθ. κεφ. ιβ'. 46. Λουκ. κεφ. ή. 19. Μάρκ. κεφ. γ'. 31. — (4) Ἰωάν. κεφ. έ. 2.

γόνατα, καὶ ἕως τοὺς ἀγκῶνας καὶ βαστῶν εἰς τὴν πλάτην του κραββάτι μὲ πάπλωμα, καὶ πλησίον αὐτοῦ ἄλλοι ἀσθενεῖς κείμενοι ἐπάνω εἰς κραββάτια.

Ὁ Χριστὸς εὐλογῶν τοὺς πέντε ἄρτους (1).

§ 201. Βουνὰ καὶ ἕνα παιδὶ βαστάζον πανέρι μὲ πέντε ἄρτους, καὶ δύο ἰχθύας· καὶ ὁ Χριστὸς ἱστάμενος καὶ βλέπων εἰς τὸν οὐρανόν, μὲ τὴν ἀριστερὰν βαστῶν τὸ πανέρι, καὶ μὲ τὴν δεξιὰν τὸ εὐλογεῖ· καὶ πλησίον του ὁ Φίλιππος καὶ ὁ Ἀνδρέας, καὶ πολὺ πλῆθος ἀνθρώπων καθήμενοι εἰς πέντε τόπους, καὶ τρεῖς Ἀπόστολοι σηκώνοντες εἰς τοὺς ὤμους των κοφίνια ὀλίγον κλιτά, καὶ ἄλλοι τρεῖς εὐγαίνοντες κομμάτια ἀπὸ τὰ κοφίνια τὰ βάζουν ἔμπροσθεν τῶν καθημένων ἀνθρώπων, καὶ οἱ λοιποὶ βαστάζοντες πανέρια μοιράζουν καὶ αὐτοὶ κομμάτια εἰς τοὺς ἀνθρώπους.

Ὁ Χριστὸς περιπατῶν ἐπὶ τῆς θαλάσσης (2).

§ 202. Θάλασσα μὲ φοβερὰ καὶ ἄγρια κύματα, καὶ ἐν μέσῳ πλοιάριον καὶ εἰς αὐτὸ οἱ Ἀπόστολοι πεφοβισμένοι καὶ ὁ Πέτρος ἔξω εἰς τὴν θάλασσαν βυθισμένος ἕως τὰ γόνατα, καὶ ἁπλώνων τὰς χεῖρας· ὁ δὲ Χριστὸς περιπατῶν ἐπάνω τῶν κυμάτων λαμβάνει αὐτὸν ἐκ τῆς χειρός.

Ὁ Χριστὸς ἰώμενος πολλοὺς ἀσθενεῖς τῇ ἀφῇ τοῦ κρασπέδου (3).

§ 203. Ὁ Χριστὸς μὲ τοὺς Ἀποστόλους εὐλογῶν, καὶ γύρωθέν του πολλοὶ ἀσθενεῖς ἀπὸ διαφόρους ἀσθενείας βεβαρημένοι ἐγγίζοντες εἰς τὴν ἄκρην τῶν ἱματίων του.

Ὁ Χριστὸς ἰώμενος τὴν θυγατέρα Χανανέας (4).

§ 204. Ὁ Χριστὸς μὲ τοὺς Ἀποστόλους εὐλογῶν, καὶ ἡ γυνὴ

---

(1) Ματθ. κεφ. ιδ'. 15 Μάρκ. κεφ. ς'. 41. Λουκ. κεφ. θ'. 13. Ἰωάν. κεφ. ς'. 10.— (2) Ματθ. κεφ. ιδ'. 25. Μάρκ. κεφ. ς'. 48. Ἰωαν. κεφ. ς'. 19.— (3) Ματθ. κεφ. ιδ'. 35. Μάρκ. κεφ. ς'. 56.— (4) Ματθ. κεφ. ιέ. 22. Μάρκ. κεφ. ζ'. 25.

πίπτουσα εἰς τοὺς πόδας του· καὶ ὀλίγον μακρόθεν ὄπισθεν τῆς γυναικὸς μία κόρη καθημένη εἰς κράββατον, καὶ δαίμων εὐγαίνει ἀπὸ τὸ στόμα της.

Ὁ Χριστὸς ἰώμενος τὸν μογγιλάλον (1).

§ 205. Ὅμοιον μὲ τὸν δαιμονιζόμενον κωφόν. βλ. §. 164.

Ὁ Χριστὸς εὐλογῶν τοὺς ἑπτὰ ἄρτους (2).

§ 206. Οἱ ἑπτὰ ἄρτοι μέσα εἰς πανέρι καὶ ὀλίγα ὀψάρια· καὶ ὁ Χριστὸς βλέπων εἰς τὸν οὐρανὸν εὐλογεῖ αὐτά, καὶ οἱ Ἀπόστολοι τὰ μοιράζουν εἰς τοὺς ὄχλους βαστάζοντες κάθε δύω ἀπὸ αὐτοὺς ζεμπίλι γεμάτον, καὶ ἄλλοι μερίζοντες αὐτά.

Ὁ Χριστὸς ἰώμενος [τὸν] ἐν Βηθσαϊδᾷ τυφλόν (3).

§ 207. Κάστρον καὶ ἔξωθεν τῆς πύλης τοῦ κάστρου ὁ Χριστὸς καὶ ἔμπροσθέν του ἕνας τυφλὸς βαστῶν πατερίτζαν καὶ ὁ Χριστὸς βάζει τὴν δεξιάν του εἰς τοὺς ὀφθαλμοὺς αὐτοῦ· καὶ οἱ Ἀπόστολοι πλησίον του.

Ἡ Μεταμόρφωσις (4).

§ 208. Βουνὸν μὲ τρεῖς κορυφάς, καὶ εἰς τὴν μεσαίαν κορυφὴν ὁ Χριστὸς ἱστάμενος μὲ λευκὰ ἱμάτια καὶ εὐλογῶν· καὶ γύρωθέν του φῶς μὲ ἀκτῖνας· καὶ εἰς τὴν δεξιὰν κορυφὴν ὁ Μωϋσῆς βαστῶν τὰς πλάκας, εἰς δὲ τὴν ἀριστερὰν ὁ προφήτης Ἠλίας, ἱστάμενοι καὶ οἱ δύω ἱκετικῶς, καὶ βλέποντες τὸν Χριστόν· καὶ ὑποκάτωθεν τοῦ Χριστοῦ ὁ Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης κείμενοι πρόμυτα, καὶ βλέποντες ἄνω ὡς ἐξεστηκοί· καὶ ὄπισθεν εἰς τὸ ἕνα μέρος τοῦ βουνοῦ πάλιν ὁ Χριστὸς ἀναβαίνων μὲ τοὺς τρεῖς Ἀποστόλους καὶ δεικνύων εἰς αὐτοὺς τὴν κορυφὴν τοῦ βουνοῦ· καὶ εἰς τὸ ἄλλο μέρος τοῦ

---

(1) Μάρκ. κεφ. ζ'. 32. — (2) Ματθ. κεφ. ιέ. 30. Μάρκ. κεφ. ή. 6. — (3) Μάρκ. κεφ. ή. 22. — (4) Ματθ. κεφ. ιζ'. 1 Μάρκ. κεφ. θ'. 2. Λουκ. κεφ. θ'. 28.

βουνοῦ πάλιν οἱ Ἀπόστολοι καταβαίνοντες μὲ φόβον καὶ βλέποντες εἰς τὰ ὀπίσω, καὶ πάλιν ὁ Χριστὸς ὄπισθεν αὐτῶν εὐλογῶν αὐτούς.

Ὁ Χριστὸς ἰώμενος τὸν σεληνιαζόμενον υἱὸν τοῦ ἄρχοντος (1).

§ 209. Ὁ Χριστὸς ἱστάμενος μὲ τοὺς Ἀποστόλους, καὶ ἐμπρὸς εἰς τοὺς πόδας του ἕνας νέος δεμένος μὲ ἁλύσεις κείμενος ὕπτιος ὡς νεκρός, καὶ ἔχων ἀφροὺς εἰς τὸ στόμα του, καὶ ὁ πατὴρ αὐτοῦ γονατισμένος ἔχων τὰ χέρια ἁπλωμένα πρὸς τὸν Χριστόν.

Ὁ Χριστὸς μὲ τὸν Πέτρον τελῶν τὰ δίδραχμα (2).

§ 210. Αἰγιαλὸς, καὶ ὁ Πέτρος ξυπόλητος καὶ ξεγυμνωμένος τὰ χέρια κ.θηται ἐπάνω εἰς πέτραν βαστῶν ὄρθιον κάλαμον, καὶ εἰς τὸ καλάμι ὀψάρι κρεμασμένον· καὶ παρέχει πάλιν ὁ Χριστὸς καὶ ὁ Πέτρος δίδων ἑνὸς στρατιώτου ἀργύρια.

Ὁ Χριστὸς εὐλογῶν τὸ παιδίον (3).

§ 211. Ὁ Χριστὸς καθήμενος, μὲ τὸ ἕνα χέρι κρατεῖ παιδίον ἔμπροσθέν του, καὶ μὲ τὸ ἄλλο εὐλογεῖ αὐτὸ, καὶ δεικνύων αὐτὸ τοῖς Ἀποστόλοις λέγει· «*ὅστις οὖν ταπεινώσει ἑαυτὸν ὡς τὸ παιδίον τοῦτο, οὗτος ἐστὶν ὁ μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν*»· καὶ οἱ Ἀπόστολοι θαυμάζοντες βλέπουσιν ἀλλήλους.

Ὁ Χριστὸς ἐρωτώμενος ὑπὸ τοῦ Νομικοῦ (4).

§ 212. Ὁ Χριστὸς καθήμενος καὶ οἱ μαθηταὶ ἱστάμενοι ὀπίσω του καὶ ὁ Νομικὸς γέρων ἔχων τὴν κεφαλὴν τειλιγμένην μὲ μανδῆλι, καὶ βαστῶν εἰς τὸ χέρι του κλεισμένον βιβλίον, ἱστάμενος ἔμπροσθεν τοῦ Χριστοῦ ἐρωτᾷ αὐτόν.

---

(1) Ματθ. κεφ. ιζ'. 15. Μάρκ. κεφ. θ' 17. Λουκ. θ' 37.— (2) Ματθ. κεφ. ιζ'. 24.— (3) Ματθ. ιή. 2. Μάρκ. θ'. 36.— (4) Λουκ. ι. 25.

Ὁ Χριστὸς ξενιζόμενος παρὰ τῆς Μάρθας καὶ Μαρίας ([1]).

§ 213. Ὀσπήτιον, καὶ ἐν αὐτῷ ὁ Κύριος καθήμενος εἰς σκαμνί, καὶ ὄπισθέν του οἱ Ἀπόστολοι, καὶ ἡ Μαρία καθημένη πλησίον εἰς τοὺς πόδας του βλέπουσα καὶ ἀκούσασα αὐτὸν μὲ προθυμίαν· ἄντικρυ δὲ αὐτοῦ τράπεζα ἡτοιμασμένη, καὶ ἡ Μάρθα βάλλουσα σκουτέλι σκεπασμένον εἰς αὐτήν, καὶ ἄλλα φαγητά, καὶ βλέπει πρὸς τὸν Χριστόν.

Ὁ Χριστὸς ἰώμενος τὴν συγκύπτουσαν ἐν τῇ συναγωγῇ ([2]).

§ 214. Ναὸς καὶ ἡ γυνὴ πολλὰ κυρτὴ ἀκουμβίζουσα εἰς δεκανίκι, καὶ ὁ Χριστὸς ἔμπροσθεν αὐτῆς ἱστάμενος, ἔχων τὸ ἕνα χέρι ἐπάνω τῆς κεφαλῆς της, καὶ τὸ ἄλλο ἁπλωμένον πρὸς τοὺς Φαρισαίους καὶ βλέπων αὐτούς· καὶ ὁ ἀρχισυνάγωγος ἁπλώνων τὴν χεῖρα πρὸς τὸν Χριστὸν στρέφει πρὸς τοὺς ὄχλους τὸ πρόσωπόν του, καὶ οἱ Ἀπόστολοι ὄπισθεν τοῦ Χριστοῦ ἱστάμενοι μετὰ θάμβους.

Ὁ Χριστὸς ἰᾶται τὸν Ὑδρωπικόν ([3]).

§ 215. Ὀσπήτιον καὶ ἐν αὐτῷ ὁ Χριστὸς μὲ τοὺς Ἀποστόλους καὶ ἔμπροθέν του ὁ ὑδρωπικὸς γυμνός, βρακὶ μόνον φορῶν, πρισμένος ὅλος, ἀκουμβίζων εἰς δύω πατερίτζας καὶ βλέπων τὸν Χριστόν· αὐτὸς εὐλογεῖ αὐτὸν καὶ γύρωθεν πλῆθος Ἰουδαῖοι.

Ὁ Χριστὸς ἰώμενος τοὺς δέκα λεπρούς ([4]).

§ 216. Κάστρον, καὶ ὁ Χριστὸς μὲ τοὺς Ἀποστόλους, καὶ ἔμπροσθέν του οἱ δέκα λεπροὶ γυμνοὶ φοροῦντες μόνον βρακία, καὶ πληγωμένοι ὅλον τὸ σῶμα· ὁ δὲ Χριστὸς εὐλογῶν αὐτούς.

Ὁ Χριστὸς εὐλογῶν τὰ βρέφη ([5]).

§ 217. Ὁ Χριστὸς καθήμενος, καὶ γυναῖκες φέρουσαι ἔμπρο-

([1]) Λουκ. κεφ. ι. 38.— ([2]) Λουκ. κεφ. ιγ. 10.—([3]) Λουκ. κεφ. ιδ'. 2.— ([5]) Ματθ. κεφ. ιθ'. 13. Μάρκ. κεφ. ι. 13. Λουκ. κεφ. ιη. 16.

σθέν του παιδία, καὶ οἱ Ἀπόστολοι ἐμπαίζοντες αὐτούς· ὁ δὲ Χριστὸς εὐλογεῖ αὐτά.

Ὁ Χριστὸς ἐρωτώμενος ὑπὸ τοῦ νέου πλουσίου ([1]).

§ 218. Ὀσπήτια, καὶ ὁ Χριστὸς καθήμενος, καὶ ὄπισθέν του οἱ Ἀπόστολοι, καὶ ἔμπροθέν του ὁ πλούσιος νέος γονατιστός, καὶ ἐρωτῶν αὐτὸν μετ' εὐλαβείας.

Ὁ Χριστὸς διδάσκων τοὺς υἱοὺς Ζεβεδαίου μὴ ζητεῖν προεδρίαν ([2]).

§ 219. Ὁ Χριστὸς ἱστάμενος, καὶ ἔμπροσθέν του ὁ Ἰάκωβος καὶ ὁ Ἰωάννης, ἔχοντες ἁπλωμένα τὰ χέρια εἰς αὐτόν, καὶ ἡ μήτηρ αὐτῶν πλησίον γονατιστή, ἔχουσα χεῖρας καὶ ὄμματα πρὸς τὸν Χριστὸν ἁπλωμένα, ὁ δὲ Χριστὸς τὸ ἕνα χέρι ἁπλωμένον, μὲ τὸ ἄλλο βαστᾷ χαρτὶ λέγων· *οὐκ οἴδατε τί αἰτεῖσθε*. Καὶ οἱ λοιποὶ Ἀπόστολοι ὄπισθέν του, βλέποντες τὸν Ἰάκωβον καὶ Ἰωάννην μὲ ἀγανάκτησιν.

Ὁ Χριστὸς εἰσερχόμενος ἐν τῇ Ἱεριχῷ ἰᾶται τὸν τυφλὸν ([3]).

§ 220. Κάστρον καὶ ἔξω τῆς πύλης του ὁ Χριστὸς ἱστάμενος καὶ ὄπισθεν οἱ Ἀπόστολοι καὶ ἔμπροσθέν του ἕνας τυφλὸς βαστῶν δεκανίκι καὶ ὁ Χριστὸς εὐλογεῖ αὐτόν.

Ὁ Χριστὸς προσκαλῶν τὸν Ζακχαῖον ([4]).

§ 221. Πόλις καὶ λαὸς πολύς, καὶ συκομορέα εἰς τὸ μέσον, καὶ ἐπάνω αὐτῆς ὁ Ζακχαῖος μικρόκορμος μιξαιπόλιος, φορῶν κοντόστενα ῥοῦχα, καὶ ἔχων εἰς τὸ κεφάλι τυλιγμένον μαντῆλι, καὶ βλέπων τὸν Χριστὸν καὶ ὁ Χριστὸς μὲ τοὺς Ἀποστόλους κάτωθεν βλέπουν εἰς αὐτόν, με τὸ ἕνα χέρι εὐλογεῖ αὐτόν, καὶ μὲ τὸ ἄλλο

([1]) Ματθ. κεφ. ιθ'. 19 Μάρκ. κεφ. ι. 17. Λουκ. κεφ. ιή. 18.— ([2]) Ματθ. κεφ. κ'. 22.— Μάρκ. κεφ. ι. 55.— ([3]) Μάρκ. κεφ. ι. 46. Λουκ. κεφ. ιή. 35.— ([4]) κεφ· Λουκ. ιθ'. 1.

βαστᾷ χαρτὶ λέγων. *Ζακχαῖε, σπεύσας κατάβηθι σήμερον γὰρ [ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι].*

Ὁ Χριστὸς ἐξερχόμενος τῆς Ἱεριχοῦς ἰᾶται τὸν τυφλὸν Βαρτιμαῖον (1).

§ **222.** Ὅμοιον μὲ τὸ πρῶτον [§. **220**], μόνον οἱ χαρακτῆρες νὰ διαφέρουν κατὰ τὸ πρόσωπόν των.

Ὁ Χριστὸς ἐλευθερώνει τὴν μοιχαλίδα (2).

§ **223.** Λαὸς καὶ ὁ Χριστὸς καθήμενον γράφει εἰς τὴν γῆν καὶ λέγει. *Ὁ ἀναμάρτητος ὑμῶν πρῶτος βαλέτω λίθον ἐπ' αὐτήν.* Καὶ ὄπισθεν αὐτοῦ οἱ Ἀπόστολοι, καὶ ἔμπροσθέν του μία γυνὴ ἱσταμένη, ἔχουσα σταυρωμένα τὰ χέρια εἰς τὸ στῆθος, καὶ Γραμματεῖς καὶ Φαρισσαῖοι φεύγοντες καὶ βλέποντες εἰς τὰ ὀπίσω.

Ὁ Χριστὸς λιθαζόμενος παρὰ τῶν Ἰουδαίων (3).

§ **224.** Ὁ Χριστὸς διδάσκων, καὶ οἱ Ἀπόστολοι, καὶ Ἰουδαῖοι τριγύρω βαστάζοντες λίθους.

Ὁ Χριστὸς ἰᾶται τὸν ἐκ γενετῆς τυφλόν (4).

§ **226.** Ὁδὸς ἔσω τοῦ φρουρίου τῆς Ἱερουσαλὴμ, καὶ ἕνας τυφλὸς νέος ἀκουμβίζων εἰς δεκανίκι, ἔχων κρεμασμένον τορβᾶν εἰς τὸν ὦμόν του, καὶ οἱ δάκτυλοι τῶν ποδῶν του φαινόμενοι ἔξωθεν τῶν ὑποδημάτων του· καὶ ὁ Χριστὸς ἔμπροσθέν του καὶ παρέχει πάλιν κολυμβήθρα μὲ νερόν, καὶ νίπτει ὁ τυφλὸς τοὺς ὀφθαλμούς του.

Ὁ Χριστὸς πάλιν λιθαζόμενος (5).

§ **229.** Ὅμοιον μὲ τὸ πρῶτον [§. **224**].

Ἡ ἔγερσις τοῦ Λαζάρου (6).

§ **227.** Βουνὸν μὲ δύω κορυφάς, καὶ ὄπισθεν κάστρον φαινόμενον ὀλίγον, καὶ Ἑβραῖοι ἐξερχόμενοι ἀπὸ τὰς θύρας αὐτοῦ φαινό-

(1) Μάρκ. κεφ. ι. 46. (2) Ἰωάν. κεφ. η 3.— (3) Ἰωάν. κεφ. η. 59.— (4) Ἰωάν. κεφ. ιθ'. 1.— (5) Ἰωάν. κεφ. ι. 31.— (6) Ἰωάν. κεφ. ιά. 41.

μενοι ὡς τὴν μέσην ὄπισθεν τῶν βουνῶν κλαίοντες· ἔμπροθεν τοῦ βουνοῦ μνημεῖον καὶ ἕνας ἄνθρωπος τραβᾷ ἐξ αὐτοῦ τὸν λίθον· καὶ ὁ Λάζαρος ἱστάμενος ἐν μέσῳ τοῦ μνημείου, καὶ ἄλλος ἄνθρωπος ἐκτυλίσσων αὐτόν· καὶ μὲ τὸ ἄλλο βαστᾷ χαρτί, λέγων· *Λάζαρε δεῦρο ἔξω.* Καὶ ὄπισθεν αὐτοῦ οἱ Ἀπόστολοι· καὶ εἰς τοὺς πόδας του ἡ Μάρθα καὶ ἡ Μαρία προσκυνοῦσαι αὐτόν.

Ὁ Χριστὸς ἀλειφόμενος μύρῳ τοὺς πόδας ὑπὸ Μαρίας ἀδελφῆς Λαζάρου (¹).

§ **228.** Ὀσπήτια, καὶ ὁ Χριστὸς ἐπὶ τραπέζης καὶ οἱ Ἀπόστολοι καὶ ὁ Λάζαρος, καὶ ὁ Σίμων ὁ πατὴρ αὐτοῦ· καὶ ἡ Μαρία γονατιστὴ ἔμπροσθεν τοῦ Χριστοῦ, σφογγίζει μὲ τὰ μαλλιὰ τῆς κεφαλῆς της τοὺς πόδας του κατάφιλοῦσα αὐτούς· καὶ πλησίον αὐτῆς ἀγγεῖον γυάλινον στενόστομον· καὶ ἡ Μάρθα ἄντικρυς μὲ τὸ ἕνα χέρι βαστᾷ μουσοῦρι καὶ βλέπουσα μετὰ θάμβους τὸν Χριστόν, ὁμοίως καὶ οἱ Ἀπόστολοι θαυμάζουσιν, ὁ δὲ Ἰούδας ἀγανακτῶν δεικνύει τὸ μύρον εἰς αὐτούς.

Ἡ Βαϊφόρος (²).

§ **229.** Κάστρον, καὶ ἔξωθεν βουνόν, καὶ ὁ Χριστὸς καθήμενος εἰς πωλάρι εὐλογῶν· καὶ ὄπισθεν οἱ Ἀπόστολοι, καὶ ἔμπροσθεν τοῦ Χριστοῦ ἐπάνω τοῦ βουνοῦ δένδρον, καὶ ἐπάνω εἰς αὐτὰ παιδία κόπτοντα κλάδους, μὲ τζεκούρια καὶ τοὺς ῥίχνουν εἰς τὴν γῆν· καὶ ἄλλο παιδὶ ἀναβαῖνον καὶ βλέπον κάτωθεν τὸν Χριστὸν καὶ ὑποκάτω τοῦ πωλαρίου ἄλλα παιδία· ἄλλα βαστοῦν κλάδους· ἄλλα παλεύουν· ἄλλα στρώνουν ῥοῦχα, καὶ ἄλλα εὐγαίνουν ἀγκάθια ἀπὸ τοὺς πόδας των· καὶ ἔξω τῆς πύλης τοῦ Κάστρου Ἰουδαῖοι ἄνδρες καὶ γυναῖκες, βαστάζουσαι παιδία εἰς τὰς ἀγκάλας καὶ εἰς τοὺς ὤμους των βαστάζοντα καὶ αὐτὰ κλάδους· καὶ ἄλλοι ἀπὸ τὰ τείχη καὶ

καὶ ὁ Ἀδὰμ καὶ ἡ Εὔα ἔξωθεν γυμνοὶ κλαίοντες· καὶ παρέκει ἄλλοι ἄνθρωποι, ἄλλοι εἴδωλα προσκυνοῦντες, ἄλλοι γάτους, ἄλλοι σκύλλους· ἄλλοι βώδια· ἄλλοι ἀνθρώπους θυσιάζοντες εἰς τὰ εἴδωλα· ἄλλοι τρώγουν καὶ πίνουν μὲ γυναῖκας ἀσέμνους, καὶ δαίμονες χαλινόνοντες αὐτούς· καὶ εἰς ἕνα μέρος αὐτῶν ὁ Μωϋσῆς μὲ τὰς πλάκας, καὶ ὁ Ἀαρὼν ὄπισθεν αὐτοῦ βλέποντες πρὸς αὐτοὺς καὶ στρέφοντες εἰς τὰ ὀπίσω· καὶ παρέκει ναός, καὶ ἔσω οἱ Ἀπόστολοι, ἄλλους διδάσκοντες, ἄλλουςβ απτίζοντες, ἄλλους μεταλαμβάνοντες· καὶ ὁ Χριστὸς ἔμπροσθεν αὐτῶν πάντων, μὲ τὸ ἕνα χέρι δίδει τοῦ ἁγίου Παύλου Εὐαγγέλιον καὶ τὰς πλάκας τοῦ νόμου· καὶ μὲ τὸ ἄλλο βαστᾷ τὸν σταυρόν του εἰς τοὺς ὤμους του, καὶ δεικνύει αὐτοῖς τοὺς ὄπισθεν αὐτοῦ καὶ ἔξω τοῦ ναοῦ προειρημένους εἰδωλολατροῦντας ἀνθρώπους.

Ἡ παραβολὴ τοῦ κριτοῦ τῆς ἀδικίας (¹).

Κριτής τις ἦν ἔν τινι πόλει τὸν Θεὸν μὴ φοβούμενος κτλ.

§ 292. Ὁ Χριστὸς ἐπάνω εἰς τὸν οὐρανόν, καὶ ὑποκάτωθεν αὐτοῦ ἕνας ἱεράρχης προσευχόμενος, καὶ ὑπὸ αἱρετικῶν ἐνοχλούμενος· καὶ εἷς ἄγγελος μετὰ ξίφους διώκει τοὺς αἱρετικοὺς καὶ παρέκει εἷς νέος ἅγιος μέσα εἰς φωτίαν· καὶ οὐρανόθεν κατέρχεται ὕδωρ καὶ δροσίζει αὐτόν, καὶ δύω ἄγγελοι πλησίον του· καὶ παρέκει πάλιν ἕνας ὅσιος γονατιστὸς προσευχόμενος, καὶ δαίμονες γύρωθεν τοξεύουσιν αὐτόν, καὶ ἄγγελος Κυρίου διώκει αὐτούς.

Ἡ παραβολὴ τοῦ ἀσώτου (²).

Ἄνθρωπος εἶχε δύω υἱούς, καὶ εἶπεν ὁ νεώτερος κτλ.

§ 293. Ναὸς καὶ θυσιαστήριον, καὶ πλησίον τοῦ ναοῦ ὁ πρεσβύτερος υἱὸς προσευχόμενος· καὶ παρέκει ὁ νεώτερος υἱὸς τρώγων καὶ πίνων μετὰ πορνῶν, καὶ πάλιν μέσα εἰς τὸν ναὸν κοινωνεῖ τὸν ἄσωτον, καὶ οἱ Ἀπόστολοι τὸν μυρόνουν καὶ τοῦ δίδουν καὶ σταυρόν·

(¹) Λουκ. κεφ. ιή[illegible] — (²) Λουκ. κεφ. ιέ. 11.

κύκλω δὲ τοῦ θυσιαστηρίου τὰ τάγματα τῶν ἀγγέλων μὲ κιθάρας καὶ ὄργανα, καὶ σάλπιγγας, χαρούμενα· καὶ ἔξωθεν τοῦ ναοῦ πάλιν ὁ Χριστὸς εἰς ἄλλο μέρος παρακαλῶν τῶν πρεσβύτερον καὶ λέγων εἰς χαρτί. *Τέκνον σὺ πάντοτε μετ' ἐμοῦ εἶ, καὶ πάντα τὰ ἐμὰ σὰ ἐστί,* καὶ ἐκεῖνος βλέπων αὐτὸν στρέφει εἰς τὰ ὀπίσω.

Ἡ παραβολὴ τοῦ πλουσίου οὗ εὐφόρησεν ἡ χώρα (¹).

Ἀνθρώπου τινὸς πλουσίου εὐφόρησεν ἡ χώρα κτλ.

§ **294.** Ὀσπήτιον καὶ εἷς ἄνθρωπος φορῶν κόκκινον φόρεμα καὶ καλπάκι, στέκει καὶ ἀπορεῖ· καὶ ἔμπροσθέν του σωροὶ σίτου· καὶ ἄνθρωποι πελεκοῦντες ποιοῦσιν ἀποθήκας· καὶ παρέκει πάλιν αὐτὸς κείμενος εἰς κλίνην χρυσῆν· καὶ δαίμονες τριγύρω του ἐκβάλλουν μὲ τρίαιναν τὴν ψυχήν του.

Ἡ παραβολὴ τοῦ πλουσίου καὶ τοῦ πτωχοῦ Λαζάρου (²).

Ἄνθρωπος δέ τις ἦν πλούσιος, καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον κτλ.

§ **295.** Παλάτι καὶ ἐν αὐτῷ τράπεζα μὲ βρώματα διάφορα, καὶ εἷς ἄνθρωπος φορῶν λαμπρὰ καὶ πολύτιμα φορέματα, κάθηται ἐν αὐτῇ καὶ βαστᾷ εἰς τὰς χεῖράς του ποτήριον· καὶ ὑπηρέται πολλοὶ ὑπηρετοῦσιν αὐτὸν φέροντες διάφορα βρώματα· καὶ παρέκει πάλιν αὐτὸς εἰς κλίνην, καὶ δαίμονες ἐκβάλλουν τὴν ψυχήν του· καὶ γύρωθεν αὐτοῦ γυναῖκες καὶ παιδία κλαίουσιν, καὶ ὑποκάτωθεν τῶν θυρῶν τοῦ παλατίου εἷς ἄνθρωπος γυμνὸς πληγωμένος, κείμενος κατὰ γῆς· καὶ κυνάρια περὶ αὐτὸν γλύφουν τὰς πληγάς του, καὶ ἐπάνωθεν αὐτοῦ Δαβὶδ μὲ τὴν κιθάραν, καὶ τῶν ἀγγέλων τὰ τάγματα λαμβάνουν τὴν ψυχήν του μετὰ σαλπίγγων καὶ ὀργάνων, καὶ Ἅδης παρέκει καὶ πλούσιος ἐν αὐτῷ φλεγόμενος λέγει· *Πάτερ Ἀβραὰμ ἐλέησόν με* καὶ ἄντικρυ αὐτοῦ Παράδεισος καὶ ὁ Ἀβραὰμ μέσα· καὶ εἰς τοὺς κόλπους του ὁ Λάζαρος, ὁ δὲ Ἀβραὰμ ἀποκρίνεται πρὸς

(¹) Λουκ. κεφ. ιβ'. 16. — (²) Λουκ. κεφ. ις'. 19.

τὸν πλούσιον· τέκνον, *μνήσθητι ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ ὁ Λάζαρος ὁμοίως τὰ κακά.*

Ἡ παραβολὴ τοῦ ἰσχυροῦ ([1]).

Οὐδεὶς δύναται τὰ σκεύη τοῦ ἰσχυροῦ κτλ.

§ 296. Ὁ Χριστὸς ἱστάμενος εὐλογῶν, καὶ ἔμπροσθέν του ὁ Ματθαῖος ὁ τελώνης, καὶ ἀπόστολος ὁ Παῦλος, καὶ ἡ Μαγδαληνὴ Μαρία, καὶ ἡ Πόρνη, καὶ ἄλλοι μετανοήσαντες ἁμαρτωλοὶ προσπίπτοντες εἰς τοὺς πόδας του, καὶ παρέχει ἄγγελοι δεσμεύοντες τὸν διάβολον, ῥίπτουν αὐτὸν εἰς τὸν Ἅδην.

Ἡ παραβολὴ τοῦ λύχνου ([2]).

Οὐδεὶς λύχνον ἅψας καλύπτει αὐτὸν κτλ.

§ 297. Ναὸς, καὶ εἷς Ἅγιος Ἀρχιερεὺς διδάσκων ἐπὶ ἄμβωνος, καὶ εἷς ἄγγελος καλεῖ εἰς τὸ ὠτίον του καὶ φῶς τριγύρω αὐτοῦ· καὶ ἄνθρωποι ὑποκάτω αὐτοῦ ἀκούοντες μετὰ προθυμίας, καὶ τὰς χεῖρας ὑψωμένας ἔχοντες· ὁ δὲ Χριστὸς ἄνω αὐτῶν λέγει, *οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων ὅπως ἴδωσιν.*

Ἡ παραβολὴ τῆς ἀκάρπου συκῆς ([3]).

Συκῆν εἶχέ τις ἐν τῷ ἀμπελῶνι αὐτοῦ κτλ.

§ 298. Ναός, καὶ εἷς ἄνθρωπος ἐν τῷ μέσῳ μιξαιπόλειος, ἔχων σταυρομένας τὰς χεῖρας ἐπὶ τοῦ στήθους του, καὶ ὁ ἀθάνατος πλησίον αὐτοῦ βαστᾷ δρέπανον· καὶ ὁ Χριστὸς προστάζει ἵνα ἐγκόψῃ αὐτόν· καὶ Ἄγγελος ὁ φύλαξ τῆς τοῦ ἀνθρώπου ζωῆς ἔμπροσθεν τοῦ Χριστοῦ γονατιστὸς παρακαλεῖ αὐτὸν λέγων· *Κύριε ἄφες αὐτὸν καὶ τὸν χρόνον τοῦτον.*

Ἡ παραβολὴ τοῦ βουλομένου οἰκοδομῆσαι πύργον ([4]).

Τίς ἐξ ὑμῶν πύργον θέλων οἰκοδομῆσαι κτλ.

§ 299. Ὁ ἅγιος Παῦλος διδάσκων καὶ λέγων εἰς χαρτί, *θεμέλιον*

([1]) Ματθ. κεφ. ιβ'. 29. Μάρκ. κεφ. 6'. 27. — ([2]) Ματθ. κεφ. ε. 15. Μάρκ. κεφ. δ'. 21 Λουκ. ή. 16. — ([3]) Λουκ. κεφ. ιγ'. 6. — ([4]) Λουκ. κεφ. ιδ'. 28.

Ἰησοῦν Χριστόν· καὶ τριγύρω του ἄνθρωποι ἀκούοντες αὐτοῦ προθύμως· καὶ παρέχει πάλιν αὐτοὶ οἱ ἄνθρωποι τρώγοντες καὶ πίνοντες καὶ πραγματευόμενοι, καὶ δαίμονες πλησίον τους ἐμπαίζοντες αὐτούς· καὶ ἐπάνωθεν αὐτῶν τὰ γράμματα· *Οἱ πιστεύοντες καὶ μὴ δυνάμενοι ἐκτελοῦσι.*

Ἡ παραβολὴ τοῦ τελώνου καὶ Φαρισσαίου ([1]).

Ἄνθρωποι δύω ἀνέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι κτλ.

§ **300**. Ναὸς καὶ κλίμαξ, καὶ ἐπ' αὐτοῦ ὁ Φαρισσαῖος ἔμπροσθεν τοῦ θυσιαστηρίου, γέρων, μακρυγένης μὲ περσικὰ φορέματα καὶ τειλιγμένος τὴν κεφαλὴν μὲ μανδήλιον βλέπει πρὸς τὸν οὐρανὸν ἔχων τὴν δεξιάν του ἁπλωμένην πρὸς τὰ ἄνω, τὴν δὲ ἀριστερὰν πρὸς τὸν τελώνην· καὶ εἰς τὴν κεφαλήν του δαίμων τῆς ὑπερηφανίας καθήμενος· καὶ ὁ Τελώνης ἀπέναντι αὐτοῦ βλέπει πρὸς τὰ κάτω, καὶ τὸ στῆθος του τύπτει· καὶ εἷς ἄγγελος ἄνω αὐτοῦ εὐλογεῖ αὐτόν.

Ἡ παραβολὴ τῶν πιστῶν καὶ φρονίμων δούλων ([2]).

Τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος κτλ.

§ **301**. Ναὸς καὶ εἷς ἀρχιερεὺς γέρων διδάσκων ἐν αὐτῷ καὶ εἷς ἅγιος ἱερεὺς ἔχων ποτήριον εἰς τὰς χεῖρας, καὶ ἕτεροι, βαστάζοντες λαμπάδας καὶ θυμιατά, καὶ ἄλλοι καλόγηροι· καὶ λαὸς πολὺς προσευχόμενος, καὶ ὁ Χριστὸς ἄνωθεν εὐλογῶν αὐτούς.

Ἡ παραβολὴ τῶν κακῶν δούλων ([3]).

Ἐὰν δὲ εἴπῃ ὁ κακὸς δοῦλος ἐν τῇ καρδίᾳ αὐτοῦ κτλ.

§ **302**. Οἶκος, καὶ ἐν αὐτῷ ἄνθρωποι χριστιανοὶ Ἐκκλησιαστικοί, μοναχοί, λαϊκοί, τρώγοντες καὶ πίνοντες μὲ χοροὺς καὶ τύμπανα, καὶ τύπτοντες ἀλλήλους, καὶ ὁ Χριστὸς ἐπάνωθεν αὐτῶν, καὶ ὁ θάνατος πλησίον τοῦ σπηλαίου· ἡ κόλασις μὲ μεγάλας φλόγας,

([1]) Λουκ. κεφ. ιή. 10.— ([2]) Ματθ. κεφ. κδ'. 45.— ([3]) Ματθ. κεφ. κδ'. 48.

ἔχουσα μέσα ἀπίστους καὶ αἱρετικούς, καὶ δαίμονας σύρουσι τοὺς ἐκ τοῦ οἴκου ἀνθρώπους.

Ἡ παραβολὴ τοῦ ἅλατος [1].

Καλὸν τὸ ἅλας, ἐὰν δὲ τὸ ἅλας μωρανθῇ κτλ.

§ 303. Ναὸς καὶ Ἀρχιερεῖς, ἱερεῖς, διδάσκαλοι, ἄλλοι εἰς ἄμβωνας διδάσκουν, ἄλλοι εἰς θρόνους, ἄλλοι βιβλία ἀναγινώσκοντες. καὶ ὁ Παῦλος εἰς ἕνα μέρος βαστῶν χαρτὶ λέγει, *ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλας ἠρτυμένος* (Κολασ. κεφ. δ'. 6).

Ἡ παραβολὴ τοῦ φωτὸς καὶ τοῦ σκότους [2].

Τὸ φῶς ἦλθεν εἰς τὸν κόσμον καὶ ἠγάπησεν κτλ.

§ 304. Ὁ Χριστὸς εἰς ἕνα μέρος καὶ τριγύρω του φῶς πολύ, βαστῶν [δὲ] Εὐαγγέλιον λέγει, *ἐγὼ εἰμὶ τὸ φῶς τοῦ κόσμου*· καὶ οἱ Ἀπόστολοι πλησίον του· καὶ παρέχει εἰς ἄλλο μέρος ὁ Ἄρχων τοῦ σκότους διάβολος μέσα εἰς σκότος, καὶ πλησίον αὐτοῦ Γραμματεῖς καὶ Φαρισσαῖοι, καὶ ἄλλο πλῆθος ἀπίστων γυρισμένοι πρὸς αὐτόν, καὶ τὸν Χριστὸν τὸν ἀφίνουν ὄπισθέν των.

Ἡ παραβολὴ τῆς βρώσεως [3].

Ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμμένην κτλ.

§ 305. Οἶκος καὶ ἐν αὐτῷ ἄνθρωποι εὐθυμοῦντες, καὶ πλησίον αὐτῶν ναὸς καὶ ἐν αὐτῷ ἄλλοι ἄνθρωποι μεταλαμβάνοντες τὰ θεῖα μυστήρια, ἄλλοι διδάσκοντες, ἄλλοι προσευχόμενοι· καὶ ὁ Χριστὸς δεικνύων αὐτοὺς λέγει πρὸς τοὺς Ἀποστόλους εἰς χαρτί, *ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν βρῶσιν τὴν μένουσαν εἰς τὸν αἰῶνα.*

Ἡ παραβολὴ τῆς θύρας καὶ τῆς αὐλῆς τῶν προβάτων [4]

Ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς κτλ.

§ 306. Ἐκκλησία καὶ ἔξω εἰς τὴν θύραν ὁ Χριστὸς κρατῶν

(1) Ματθ. κεφ. ε'. 13. Λουκ. κεφ. ιδ'. 34. — (2) Ἰωάν. κεφ. γ'. 19.—(3) Ἰωάν. κεφ. ς'. 27.— (4) Ἰωάν. κεφ. 1.

Εὐαγγέλιον ἀνοικτόν, λέγει· *ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ σωθήσεται·* καὶ ὄπισθεν τῆς θύρας ὁ Μωϋσῆς βαστῶν τὰς πλάκας τοῦ νόμου· καὶ ἔξωθεν τοῦ ναοῦ ἔμπροσθεν τοῦ Χριστοῦ οἱ ἅγιοι ἀρχιερεῖς βαστάζοντες Εὐαγγέλια, καὶ διδάσκοντες, καὶ ἐπάνωθεν ταῦτα τὰ γράμματα, *οἱ εἰσερχόμενοι διὰ τῆς θύρας.* Καὶ ἔμπροσθεν αὐτῶν πλῆθος χριστιανῶν ἀκούοντες αὐτὸν προθύμως· καὶ ὄπισθεν τῶν χριστιανῶν ὁ Ἄρειος, καὶ οἱ λοιποὶ αἱρεσιάρχαι ἐνοχλοῦντες αὐτούς· καὶ ἐπάνωθεν αὐτῶν ταῦτα τὰ γράμματα. *Οἱ μὴ εἰσερχόμενοι διὰ τῆς θύρας, ἀλλὰ ἀναβαίνοντες ἀλλαχόθεν.*

Ἡ παραβολὴ τῆς ἀμπέλου ([1]).

Ἐγώ εἰμι ἡ ἄμπελος, ἡμεῖς τὰ κλήματα κτλ.

§ 307. Ὁ Χριστὸς εὐλογῶν μὲ τὰς δύο του χεῖρας, καὶ ἔχων ἐπὶ τοῦ στήθους του Εὐαγγέλιον λέγει, *ἐγώ εἰμι ἡ ἄμπελος ὑμεῖς τὰ κλήματα,* καὶ ἐξ αὐτοῦ ἐξερχόμενοι κλάδοι κλημάτων, καὶ οἱ Ἀπόστολοι περιπλεγμένοι εἰς αὐτούς.

Ἡ παραβολὴ τοῦ ὑποκριτοῦ ([2]).

Τί βλέπεις, τὸ κάρφος ἐν τῷ ὀφθαλμῷ κτλ.

§ 308. Εἷς ἄνθρωπος ἱστάμενος ἔχων εἰς τὸν ὀφθαλμὸν μικρὸν ξυλάριον, καὶ ἔμπροσθεν αὐτοῦ εἷς Φαρισαῖος, ἔχων ἐν τῷ ὀφθαλμῷ του ξύλον μέγα λέγει πρὸς τὸν ἄλλον, *ἀδελφὲ ἄφες ἐκβάλλω τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ σου,* καὶ ἐπάνωθεν αὐτῶν ὁ Χριστὸς βλέπων μὲ φοβερὸν σχῆμα πρὸς τὸν Φαρισσαῖον, λέγει εἰς χαρτί, *ὑποκριτὰ ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου.*

Ἡ παραβολὴ τῶν καλῶν καὶ σαπρῶν δένδρων ([3]).

Οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς κτλ.

§ 309. Ἄνθρωποι ἱστάμενοι, καὶ ἀπὸ τὸ στόμα αὐτῶν ἐξέρχονται ταῦτα· ἄλλου μὲν πνεῦμα ἅγιον, ἄλλου δὲ ἄγγελος, ἄλλου

([1]) Ἰωάν. κεφ. ιέ 5. — ([2]) Ματθ. κεφ. ζ' 3. — ([3]) Ματθ. κεφ. ϐ' 33. Λουκ. κεφ. ϛ' 43.

φῶς, καὶ ἄλλου ῥόδον· καὶ ἀπὸ τῶν ἄλλων τίμια πράγματα· ἀπέναντι δὲ αὐτῶν ἄλλοι ἄνθρωποι ἱστάμενοι καὶ ἀπὸ τὸ στόμα τους εὐγαίνουν διάβολοι, ὄφεις, χοῖροι, ἄκανθαι, καὶ ἄλλα τοιαῦτα καὶ ὁ Χριστὸς μακρόθεν δεικνύων αὐτοὺς λέγει εἰς χαρτί, *πᾶν δένδρον ἐκ τοῦ καρποῦ γινώσκεται*.

Ἡ παραβολὴ τῆς στενῆς πύλης (1).

Εἰσέλθετε διὰ τῆς στενῆς πύλης κτλ.

§ 310. Βουνόν, καὶ σπήλαια, καὶ ἐν αὐτοῖς ὅσιοι προσευχόμενοι καὶ δαίμονες πειράζοντες αὐτούς, καὶ παρέχει μάρτυρες τυραννούμενοι ὑπὸ τῶν τυράννων, καὶ ὁ Χριστὸς ἄνωθεν ἐπὶ νεφελῶν εὐλογῶν αὐτούς, καὶ ἔχων ἐπὶ στήθους Εὐαγγέλιον ἀνοικτὸν λέγει, *ἀγωνίζεσθε εἰσελθεῖν διὰ τῆς στενῆς πύλης*.

Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

§ 311. Κουβούκλιον, καὶ ὑποκάτω αὐτοῦ τράπεζα, καὶ ἐπ' αὐτῆς τὸ ἅγιον Εὐαγγέλιον, καὶ ἐπ' αὐτοῦ τὸ ἅγιον πνεῦμα καὶ ὁ ἄναρχος πατὴρ πλησίον ἐπὶ θρόνου καθήμενος εὐλογεῖ μὲ τὰς ἁγίας χεῖρας του λέγων, εἰς χαρτί· *ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε*. Καὶ εἰς τὸ δεξιὸν μέρος τῆς Τραπέζης ὁ Χριστὸς μετὰ ἀρχιερατικῆς στολῆς ἱστάμενος εὐλογῶν· καὶ ἔμπροσθεν αὐτοῦ τὰ λοιπὰ τάγματα τῶν ἀγγέλων μετὰ ἱερατικῆς στολῆς ἱστάμενα μετὰ φόβου καὶ ποιοῦντα κύκλον ἕως τὸ ἀριστερὸν μέρος αὐτῆς· ὁ δὲ Χριστὸς λαμβάνει ἀπὸ τὴν κεφαλὴν ἑνὸς ἀγγέλου, εἰς σχῆμα διακόνου ὄντος, δισκάριον, καὶ ἄλλοι τέσσαρες Ἄγγελοι πλησίον, οἱ δύω θυμιάζοντες τὸν Χριστόν, καὶ οἱ δύω βαστῶντες μανουάλια· καὶ ὄπισθεν αὐτῶν οἱ λοιποὶ βαστάζοντες ἄλλος λαβίδιον, ἄλλος λόγχην, καὶ τὸν κάλαμον μὲ τὸν σπόγγον, ἄλλος σταυρόν, καὶ ἄλλος λαμπάδα.

(1) Ματθ. κεφ. ζ' 13.

Ἡ μετάδοσις τοῦ Κυριακοῦ σώματος καὶ αἵματος πρὸς τοὺς Ἀποστόλους ([1]).

§ **312.** Οἶκος καὶ τράπεζα, ἐπ' αὐτὴν δισκάριον μὲ ἄρτον μελισμένον· καὶ ὁ Χριστὸς ὄπισθεν αὐτῆς φαινόμενος ἕως τὴν μέσην ἔχων τὰς χεῖρας ἁπλωμένας, καὶ βαστῶν εἰς τὴν δεξιὰν ἄρτον, εἰς δὲ τὴν ἀριστερὰν ποτῆρι καὶ ἔμπροσθέν του Εὐαγγέλιον ἀνοικτόν, καὶ εἰς τὸ δεξιὸν μέρος ταῦτα τὰ γράμματα, *λάβετε φάγετε τοῦτό ἐστι τὸ σῶμά μου,* εἰς δὲ τὸ ἀριστερὸν ταῦτα, *πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου·* καὶ ἑκατέρων τῶν μερῶν αὐτοῦ οἱ δώδεκα Ἀπόστολοι ὀλίγον κλιτοὶ βλέποντες πρὸς τὸν Χριστόν, καὶ δεξιὰ μὲν ὁ Πέτρος ἔμπροσθεν τῶν πέντε ἁπλόνοντας τὰς χεῖράς του ὑποκάτω τοῦ ἄρτου ὁποῦ βαστᾷ ὁ Χριστός, ἀριστερᾷ δὲ ὁ Ἰωάννης ἔμπροσθεν τῶν ἄλλων πέντε ἔχων τὴν μὲν δεξιὰν ἁπλωμένην, τὴν δὲ ἀριστερὰν ἐπὶ τοῦ στήθους του, καὶ τὸ στόμα του εἰς τὰ χείλη τοῦ ποτηρίου· καὶ ὁ Ἰούδας ὄπισθεν αὐτῶν γυρισμένος εἰς τὰ ὀπίσω· καὶ ἕνας δαίμων εἰσερχόμενος εἰς τὸ στόμα του.

ΚΑ'. ΥΠΟΘΕΣΕΙΣ ΕΚ ΤΩΝ ΨΑΛΜΩΝ.

ΤΟ ΠΑΣΑ ΠΝΟΗ

§ **313.** Οὐρανὸς μὲ ἥλιον, καὶ σελήνην καὶ ἀστέρας καὶ ἐν μέσῳ ὁ Χριστὸς καθήμενος βαστᾷ χαρτὶ λέγων, *Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν, πρὸ αἰῶνος ἐθεμελίωσέ με.* Καὶ εἰς τὰ τέσσαρα μέρη οἱ τέσσαρες Εὐαγγελισταὶ εἰς τὸ εἶδος ἀνθρώπου, μόσχου, λέοντος, καὶ ἀετοῦ. Καὶ ἀπὸ τὰ δύω του μέρη ἡ Παναγία ἐκ δεξιῶν, καὶ ὁ Πρόδρομος ἐξ ἀριστερῶν πρεσβείαν ποιοῦντες· καὶ κύκλῳ αὐτοῦ τὰ ἐννέα τάγματα τῶν ἀγγέλων.

Θρόνοι, Χερουβεὶμ, Σεραφεὶμ, λέγοντα *ἅγιος, ἅγιος, ἅγιος.*

([1]) Ματθ. κεφ. ϛ'. 26. Μάρκ. κεφ ιδ'. 22. Λουκ. κεφ. κβ'. 17.

Καὶ τὰ λοιπὰ τάγματα βαστάζοντα χαρτία. Αἱ μὲν *Κυριότητες* λέγουσαι. *Δόξα Κυριότητος τὸ ἀμήχανον κάλλος.*

Αἱ δὲ Δυνάμεις. *Δόξα τὸ ὑπερβάλλον τῶν Δυνάμεων κράτος.*

Αἱ δὲ Ἐξουσίαι. *Δόξα φέγγος τὸ ἀπρόσιτον τῶν λαμπρῶν Ἐξουσιῶν.*

Αἱ δὲ Ἀρχαί. *Δόξα φάος τὸ ὑπέρλαμπρον τῶν ἀρχῶν τῶν παμφανῶν.*

Οἱ Ἀρχάγγελοι. *Δόξα Ἀρχαγγέλων ἡ ἄφραστος εὔκλεια.*

Οἱ Ἄγγελοι. *Δόξα τῶν Ἀγγέλων ἡ θεία εὐπρέπεια.*

Καὶ γύρωθεν τοῦ οὐρανοῦ ταῦτα τὰ γράμματα *Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον, αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις, σοὶ πρέπει ὕμνος τῷ θεῷ.*

Κατωτέρω δὲ τὰ τάγματα τῶν ἁγίων πάντων ἐπὶ νεφελῶν βαστάζοντα χαρτία. Οἱ ἅγιοι Προπάτορες, καὶ ἔμπροσθεν αὐτῶν ὁ Ἀδὰμ, λέγων εἰς χαρτί. *Δόξα τῶν Προπατόρων φαιδρὸν ἀγαλλίαμα.*

Οἱ Προφῆται, καὶ ἔμπροσθεν ὁ Μωϋσῆς λέγων. *Δόξα τῶν Προφητῶν καὶ τοῦ νόμου τὸ πλήρωμα.*

Οἱ Ἀπόστολοι, καὶ ἔμπροσθεν αὐτῶν ὁ Πέτρος λέγων. *Δόξα τῶν Ἀποστόλων τὸ ἀσίγητον κήρυγμα .*

Οἱ Ἱεράρχαι, καὶ ἔμπροσθεν αὐτῶν ὁ Χρυσόστομος λέγων. *Δόξα Ἀρχιερέων καλλονὴ καὶ εὐπρέπεια.*

Οἱ Μάρτυρες καὶ ἔμπροσθεν αὐτῶν ὁ Γεώργιος λέγων. *Δόξα τῶν Ἀθλοφόρων ἰσχὺς καὶ κραταίωμα,*

Οἱ Ὅσιοι καὶ ἔμπροσθεν αὐτῶν ὁ Ἀντώνιος λέγων. *Δόξα τῶν Ἀσκητῶν καὶ Ὁσίων ἡ αἴνεσις.*

Οἱ Βασιλεῖς καὶ ἔμπροσθεν αὐτῶν ὁ Κωνσταντῖνος λέγων. *Δόξα τῶν Ὀρθοδόξων Βασιλέων κραταίωσις.*

Αἱ Μάρτυρες γυναῖκες καὶ ἔμπροσθεν ἡ Αἰκατερίνα. *Δόξα τῶν παρθένων νυμφίε οὐράνιε.*

Αἱ Ὅσιαι γυναῖκες, καὶ ἔμπροσθεν ἡ Εὐπραξία, λέγουσα. *Δόξα μοναζουσῶν εὐφροσύνη οὐράνιος.*

Ὑποκάτωθεν δὲ τῶν ἁγίων ὄρη μὲ κάρπιμα δένδρα· καὶ ἐπάνωθεν αὐτῶν διάφορα πτηνὰ καὶ ὑποκάτωθεν πάντα τὰ θηρία τῆς γῆς ἥμερα καὶ ἄγρια.

ΚΒ'. ΥΠΟΘΕΣΕΙΣ ΕΚ ΤΗΣ ΑΠΟΚΑΛΥΨΕΩΣ.

ΤΑ ΕΝ ΤΗ ΑΠΟΚΑΛΥΨΕΙ ΙΣΤΟΡΟΥΜΕΝΑ.

Ἐγενόμην ἐν τῇ νήσῳ τῇ καλουμένῃ Πάτμῳ.... καὶ ἤκουσα ὀπίσω μου φωνὴν μεγάλην ὡς σάλπιγγος λεγούσης, Ἐγὼ εἰμὶ τὸ Α καὶ τὸ Ω, ὁ πρῶτος καὶ ὁ ἔσχατος καί, ὃ βλέπεις γράψον εἰς βιβλίον κτλ (1).

§ 314. Σπήλαιον, καὶ ἐν αὐτῷ ὁ ἅγιος Ἰωάννης ὁ Θεολόγος καθήμενος ἐκστατικὸς βλέπων εἰς τὰ ὀπίσω, καὶ ὄπισθεν αὐτοῦ ὁ Χριστὸς ἐπὶ νεφελῶν φορῶν στιχάρι λευκόν, καὶ χρυσῆν ζώνην καὶ βαστάζων ἀστέρας ἑπτὰ ἐν τῇ δεξιᾷ αὐτοῦ, καὶ ἀπὸ τὸ στόμα του ἐκπορευομένη δίστομος ῥομφαία, καὶ γύρωθεν αὐτοῦ λυχνίαι· καὶ τὸ πρόσωπον ὡς ὁ ἥλιος ἀστράπτον.

Τῷ Ἀγγέλῳ τῆς Ἐφεσίνης ἐκκλησίας γράψον, τάδε λέγει Κύριος ὁ κρατῶν τοὺς ἑπτὰ ἀστέρας ἐν τῇ δεξιᾷ αὐτοῦ κτλ (2).

§ 315. Τὸν Ἰησοῦν Χριστὸν μὲ ἀστέρας ἑπτὰ εἰς τὴν δεξιάν του χεῖρα, καὶ ἑπτὰ λυχνίαι χρυσωμέναι περὶ αὐτόν. Καὶ τὴν πόλιν Ἔφεσον ὑπὸ τοὺς πόδας του ἐνδεδυμένην λαμπρῶς βλέπει πρὸς τὰ ἄνω λειποθυμοῦσα, ὡς ἐκ τῆς χαρᾶς· καὶ ἀνθρώπους φεύγοντας ἐν τρόμῳ ἀπὸ προσώπου αὐτῆς. Καὶ Ἰωάννην τὸν Θεολόγον μὲ μεμβράναν εἰς χεῖρας δεικνύει αὐτὴν τῇ γυναικὶ μὲ τὴν ἀριστερὰν καὶ τὸν Ἰησοῦν μὲ τὴν δεξιάν.

Καὶ τῷ Ἀγγέλῳ τῆς ἐκκλησίας Σμυρναίων γράψον κτλ. (3).

§ 316. Τὸν Ἰησοῦν ἐν τῷ οὐρανῷ καὶ τὸν Ἰωάννην βλέποντα αὐτὸν καὶ ἀπέναντι αὐτοῦ ἄγγελον. Καὶ γυνὴ κατεξεσχισμένην

(1) Ἀποκαλ. κεφ. 6', 12. — (2) κεφ, 6'. 08.— (3) κεφ. γ. 1.—(4) κεφ. γ'. 7.— (5) κεφ. γ'. 14.

ἐν φυλακῇ σκεπάζεται ὑπὸ τοῦ Ἀγγέλου καὶ ἀναστενάζουσα βλέπει τὸν Ἰωάννην.

Καὶ τῷ Ἀγγέλῳ τῆς ἐν Περγάμῳ ἐκκλησίας γράψον κτλ (1).

§ 317. Τὸν Ἰησοῦν ἐν νεφέλαις μὲ ῥομφαίαν δίστομον εἰς τὸ στόμα του καὶ γυναῖκα ὑπὸ τοὺς πόδας ἀγκαλιασμένην ὑπὸ ἑνὸς γέροντος καὶ ἑνὸς νέου, καὶ ὁ Ἄγγελος ὠργισμένος κατ' αὐτῆς· ὁ δὲ Ἰωάννης τῆς προσφέρει βιβλίον καὶ τῆς δεικνύει τὸν Ἰησοῦν.

Καὶ τῷ Ἀγγέλῳ τοῖς ἐν Θυατείροις ἐκκλησίας γράψον κτλ (2).

§ 318. Τὸν Ἰησοῦν μὲ ὀφθαλμοὺς πυρίνους καὶ πόδας χαλκολιβάνους καὶ ἄγγελον ὑπὸ τοὺς πόδας του, τρομασμένον καὶ γυνὴ ἐπὶ κλίνης πάσχουσα δεινῶς, καὶ ἄνδρες περὶ αὐτῆς κλαίοντες καὶ βρέφη νεκρὰ βασταζόμενα ὑπὸ τῶν διαβόλων.

Καὶ τῷ Ἀγγέλῳ τῆς ἐν Σάρδεσιν ἐκκλησίας γράψον κτλ (3).

§ 319. Ὁ Χριστὸς ἔχων εν τῇ δεξιᾷ του ἀστέρας ἑπτά· καὶ ἄγγελος ἀπέναντι δακρύων καὶ γυνὴ ἡμίνεκρος πλησίον αὐτοῦ· ὁ δὲ Ἰωάννης βλέπων αὐτὴν δεικνύει πρὸς τὰ ἄνω καὶ ἑπτὰ ἄνδρες λευκὰ ἐνδεδυμένοι πετοῦν πρὸς τὰ ἄνω βασταζόμενοι ὑπὸ τῶν ἀγγέλων.

Καὶ τῷ Ἀγγέλῳ τῆς ἐν Φιλαδελφείᾳ ἐκκλησίας γράψον κτλ (4).

§ 320. Ὁ Χριστὸς ἐπὶ νεφελῶν βαστῶν κλεῖδας· καὶ πλησίον του θύρα μεγάλη ἀνεῳγμένη καὶ ἄγγελος ἐστεφανωμένος ἐνθαρρύνει νέαν δεκαπενταετῆ· ἡ δὲ νέα προσευχομένη κατέχει ἐν ταῖς χερσὶν αὐτῆς κλάδον ἐλαίας καὶ σταυρὸν καὶ καταπατεῖ δράκοντα.

Καὶ τῷ Ἀγγέλῳ τῆς ἐκκλησίας Λαοδικέων γράψον κτλ (5).

§ 321. Ὁ Χριστὸς ἐνδεδυμένος λαμπρῶς κάθηται ἐπὶ νεφελῶν, καὶ γυνὴ γυμνὴ καὶ τυφλὴ μεταξὺ βράχων ὀδύρεται καὶ ἄγγελος Θεοῦ ἐπ' αὐτῆς φυλάττει αὐτὴν λυπούμενος καὶ ὁ Ἰωάννης τῆς πλησιάζει βιβλίον.

---

(1) Ἀποκαλ. κεφ. β' 12. — (2) κεφ. β' 18. — (3) κεφ. γ' 1. (4) κεφ. γ' 7. — (5) κεφ. γ' 14.

Μετὰ ταῦτα εἶδον, καὶ ἰδοὺ θύρα ἀνεῳγμένη ἐν τῷ οὐρανῷ, καὶ ἡ φωνή.... λέγουσα, Ἀνάβα ὧδε, καὶ δείξω σας ἃ δεῖ γενέσθαι μετὰ ταῦτα· καὶ εὐθέως ἐγενόμην ἐν πνεύματι· καὶ ἰδού, θρόνος ἔκειτο ἐν τῷ οὐρανῷ . . . . Καὶ κύκλωθεν τοῦ θρόνου θρόνοι κδ'. ([1]). *Καὶ εἶδον ἐπὶ τὴν δεξιὰν τοῦ Καθημένου . . . . καὶ τ' ἄλλα* ([2]).

§ **322.** Νέφη καὶ ἐπάνωθεν αὐτῶν ὁ Ἄναρχος Πατὴρ καθήμενος εἰς θρόνον κατέχει εἰς τὴν δεξιὰν βιβλίον κλεισμένον, καὶ ἐσφραγισμένον μὲ ἑπτὰ σφραγίδας καὶ ἕνα ἀρνίον ἔχον ἑπτὰ κέρατα καὶ ἑπτὰ ὀφθαλμοὺς κρατεῖ μὲ τοὺς δύω πόδας του τὸ βιβλίον ὁποῦ βαστᾷ ὁ Ἄναρχος Πατήρ· καὶ ἔμπροσθεν τοῦ θρόνου ἑπτὰ λαμπάδες ἀναμμέναι, καὶ θάλασσα. Καὶ κύκλῳ οἱ τετράμορφοι Εὐαγγελισταί, καὶ ἀπὸ τὸ ἕνα μέρος καὶ τὸ ἄλλο οἱ κδ'. πρεσβύτεροι καθήμενοι εἰς θρόνους χρυσοῦς καὶ βαστῶντες εἰς τὰς χεῖράς των, τὰς δεξιάς, φιάλας χρυσᾶς μὲ θυμιάματα· εἰς δὲ τὰς ἀριστερὰς κιθάρας. Ὑποκάτωθεν δὲ τοῦ Πατρὸς εἷς ἄγγελος πετόμενος ἔχων τὰς χεῖρας του ἁπλωμένας εἰς τὸ ἕνα καὶ ἄλλο μέρος, ὡς προσδεχόμενος τὰς προσευχὰς τῶν ἁγίων.

Καὶ εἶδον ὅτε ἤνοιξε τὸ ἀρνίον μίαν ἐκ τῶν σφραγίδων, καὶ ἤκουσα ἑνὸς ἐκ τῶν τεσσάρων ζώων λέγοντος, ὡς φωνῆς βροντῆς ἔρχου καὶ βλέπε· καὶ εἶδον, καὶ ἰδοὺ ἵππος λευκός, καὶ ὁ καθήμενος ἐπ' αὐτῷ ἔχον τόξον· καὶ ἐδόθη αὐτῷ στέφανος, καὶ ἐξῆλθε νικῶν καὶ ἵνα νικήσῃ ([3]).

§ **323.** Βουνὰ καὶ ἄνθρωποι, ἄλλοι θανατωμένοι, ἄλλοι ζωντανοί, κείμενοι εἰς τὴν γῆν φοβισμένοι· καὶ ἐπάνωθεν αὐτῶν εἷς ἄνθρωπος ἐπὶ ἵππου λευκοῦ ἐνδεδυμένος στολὴν βασιλικὴν καὶ βαστῶν τόξον διευθύνει αὐτὸ κατὰ τῶν ἀνθρώπων. . . . .

Καὶ ἐξῆλθεν ἄλλος ἵππος πυῤῥὸς κτλ. [4]).

§ **324.** Βουνὰ καὶ πόλεις καὶ λαὸς πολὺς καὶ ἵππος πύῤῥινος ἐν μέσῳ τοῦ λαοῦ καὶ ἀναβάτης ἐπ' αὐτῷ ὅλος ὀργὴ κρατῶν διὰ τῆς ἀριστερᾶς τὴν Εἰρήνην ὡς νεάνιδα χαρίεσσαν, καὶ διὰ τῆς δεξιᾶς

([1]) Ἀποκαλ. κεφ. δ'. 1. — ([2]) κεφ. ε. 1. — ([3]) κεφ. ς'. 1. — ([4]) κεφ. ς'. 4.

μάχαιραν ἐκπέμπουσαν φλόγας κατασπαράζει τὸ πλῆθος· καὶ περὶ τὸν ἵππον νεκροί, καὶ αἱμάτων ποταμοί. Ὄπισθεν δὲ αὐτοῦ εἷς ἀγριωμένος ἵππος μέλας, καὶ ἐπ αὐτοῦ ἀνὴρ κρατῶν πλάστιγγα.

Καὶ ἰδοὺ ἵππος χλωρός, καὶ ὁ καθήμενος ἐπάνω αὐτοῦ, ὄνομα αὐτῷ ὁ θάνατος κτλ. (1).

§ 325. Ὁ Θάνατος καθήμενος ἐπὶ ἵππου χλωροῦ κρατῶν δρέπανον ἐν τῇ χειρὶ τῇ δεξιᾷ μέγα, καὶ ὁρμῶν κατὰ τῶν λαῶν θερίζει τὰ πλήθη ἀδιακρίτως· ἔμπροσθεν δὲ αὐτοῦ ἀνὴρ τερατώδης ἔχων κεφαλὴν ὁμοίαν κήτους κατατρώγει τοὺς παρακειμένους ἀδιακρίτως καὶ ἐπὶ τοῦ κρανίου αὐτοῦ ταῦτα τὰ γράμματα ὁ *Λιμός*· ἀριστερὰ δὲ τοῦ Θανάτου δράκων μέγας καὶ φοβερὸς ἔχων τὸ στόμα ἀνεῳγμένον, καὶ ἐν αὐτῷ πλῆθος ἀνδρῶν γυναικῶν καὶ παιδαρίων· περὶ δὲ τὸ θηρίον θηρία παντοδαπὰ κατατρώγοντα βασιλεῖς καὶ μεγιστάνας.

Καὶ ὅτε ἤνοιξε τὴν πέμπτην σφραγῖδα, εἶδον ὑποκάτω τοῦ θυσιαστηρίου τὰς ψυχὰς τῶν ἐσφραγισμένων κτλ. (2).

§ 326. Θυσιαστήριον καὶ ὑποκάτωθεν αὐτοῦ αἱ ψυχαὶ τῶν ἁγίων μαρτύρων ἐνδεδυμέναι στολὰς λευκάς, ἔχουσαι χεῖρας καὶ ὄμματα ἀνατεταμένα ἄνω, καὶ ἐξ ἀμφοτέρων τῶν μερῶν αὐτῶν δύω ἄγγελοι ὁμιλοῦντες αὐτοῖς.

Καὶ εἶδον, ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν ἕκτην· καὶ ἰδού, σεισμὸς μέγας ἐγένετο, καὶ ὁ ἥλιος ἐγένετο ὡς σάκκος τρίχινος καὶ ἡ σελήνη ἐγένετο ὡς αἷμα, καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ ἔπεσαν εἰς τὴν γῆν, ... καὶ ὁ οὐρανὸς ἀπεχωρίσθη ὡς βιβλίον εἱλισσόμενον . . . . (3).

§ 327. Βουνὰ σκοτεινά, καὶ πλῆθος ἀνθρώπων, ἄλλοι ὡς βασιλεῖς, ἄλλοι ὡς μεγιστάνες, ἄλλοι ὡς λαϊκοὶ συρμένοι μέσα εἰς σπήλαια· καὶ ἐπάνωθεν αὐτῶν ὁ οὐρανὸς τειλιγμένος ὡς χαρτί· καὶ ὁ ἥλιος μελανός, καὶ ἡ σελήνη ὡς αἷμα, καὶ οἱ ἀστέρες πίπτοντες εἰς τὴν γῆν.

---

(1) Ἀποκαλ. κεφ. ς'. 8. — (2) κεφ. ς'. 9. — (3) κεφ. ις'. 12.

Καὶ μετὰ ταῦτα εἶδον τέσσαρας ἀγγέλους ἑστῶτας ἐπὶ τὰς τέσσαρας γωνίας τῆς γῆς κρατοῦντας τοὺς τέσσαρας ἀνέμους τῆς γῆς, ἵνα μὴ πνέῃ ἄνεμος ἐπὶ τῆς γῆς, μήτε ἐπὶ τῆς θαλάσσης μήτε ἐπὶ πᾶν δένδρον. Καὶ εἶδον ἄλλον ἄγγελον ἀναβάντα ἀπὸ ἀνατολῆς ἡλίου, ἔχοντα σφραγῖδα Θεοῦ ζῶντος κτλ. (1).

§ 328. Γῆ καὶ θάλασσα καὶ εἰς τὰς τέσσαρας γωνίας ἄνεμοι καὶ τέσσαρες ἄγγελοι βαστάζοντες σπαθία φοβερίζουν αὐτοὺς νὰ μὴ φυσοῦν, ὁ εἷς ἐμποδίζει τὸν Βορρᾶν, ὁ ἄλλος τὸν Νότον, ὁ ἄλλος τὸν Ζέφυρον, καὶ ὁ τέταρτος τὸν Ἀπηλιώτην· εἰς δὲ τὸ ἀνατολικὸν μέρος εἷς ἄγγελος ἀναβαίνων μετὰ νεφελῶν, βαστᾷ εἰς τὴν μίαν του χεῖρα σφραγίδα Θεοῦ ζῶντος (X) τὴν δὲ ἄλλην ἔχει ἁπλωμένην πρὸς τοὺς τέσσαρας ἀγγέλους· ὑποκάτωθεν δ' αὐτοῦ ἄλλος ἄγγελος, μυρόνων τὸ πλῆθος τῶν ἀνθρώπων τῷ κύκλῳ αὐτοῦ ἱστάμενος ἐπὶ τῶν μετώπων αὐτῶν.

Μετὰ ταῦτα εἶδον καὶ ἰδοὺ ὄχλος πολύς, ὃν ἀριθμῆσαι αὐτὸν οὐδεὶς ἠδύνατο, ἐκ παντὸς ἔθνους καὶ φυλῶν καὶ λαῶν καὶ γλωσσῶν, ἑστῶτες ἐνώπιον τοῦ Θρόνου κτλ. (2).

§ 329. Νέφη πολλὰ καὶ μέσον ὁ Ἄναρχος Πατὴρ καθήμενος εἰς θρόνον καὶ εἰς τὰ τέσσαρα μέρη τοῦ θρόνου οἱ τέσσαρες Εὐαγγελισταὶ τετράμορφοι· καὶ κύκλῳ ὅλα τὰ τάγματα τῶν ἀγγέλων· καὶ τὸ Ἀρνίον ἀνοῖγον τὸ Εὐαγγέλιον ὁποῦ κρατεῖ ὁ Πατὴρ εἰς τὰ γόνατά του. Καὶ ὑποκάτωθεν τοῦ θρόνου λαὸς πολὺς φοροῦντες στολὰς λευκάς, καὶ βαστάζοντες φοίνικας εἰς τὰς χεῖρας των· καὶ ἀπὸ τὸ ἓν εἰς τὸ ἄλλο μέρος τοῦ θρόνου οἱ εἰκοσιτέσσαρες πρεσβύτεροι· καὶ ὁ ἅγιος Ἰωάννης πλησίον αὐτῶν, καὶ εἷς ἐξ αὐτῶν ἵσταται δεικνύων αὐτῷ τοὺς περιβεβλημένους τὰς λευκὰς στολάς.

Καὶ ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν ἑβδόμην, ἐγένετο σιγὴ ἐν τῷ οὐρανῷ ὡς ἡμιώριον. Καὶ εἶδον τοὺς ἑπτὰ ἀγγέλους, οἳ ἐνώπιον τοῦ θεοῦ ἑστήκασι, καὶ ἐδόθησαν αὐτοῖς ἑπτὰ σάλπιγγες· καὶ ἄλλος ἄγγελος ἦλθε, καὶ ἐστάθη ἐπὶ τὸ θυσιαστήριον ἔχων λιβανωτὸν χρυσοῦν . . . καὶ ὁ πρῶτος ἄγγελος ἐσάλπισε κτλ. (3).

(1) Ἀποκαλ. κεφ. ζ'. 1. — (2) κεφ. ζ'. 9. — (3) κεφ. η'. 1.

§ 330. Οὐρανὸς καὶ ἐπάνω αὐτοῦ ὁ Πατὴρ καθήμενος ἐπὶ θρόνου, λευκοφόρος, καὶ γύρωθεν αὐτοῦ ἑπτὰ ἄγγελοι βαστοῦντες σάλπιγγας, καὶ προσκυνοῦντες αὐτόν, καὶ ἄλλος ἄγγελος ἔμπροσθεν αὐτοῦ βαστῶν θυμιατὸν χρυσοῦν, ἀπὸ τὸ ὁποῖον εὐγαίνει καπνός, καὶ ὑποκάτωθεν αὐτοῦ ἄλλος ἄγγελος, ἔχων τὴν μίαν χεῖρα ἁπλωμένην καὶ μὲ τὴν ἄγλην βαστᾷ χαρτὶ λέγων· *Οὐαί, οὐαὶ τοῖς κατοικοῦσιν ἐπὶ τῆς γῆς, ἐκ τῶν λοιπῶν φωνῶν τῆς σάλπιγγος τῶν τριῶν ἀγγέλων τῶν μελλόντων σαλπίζειν·* καὶ ἀπὸ τὸ ἕνα μέρος ὁ ἥλιος μελανός, καὶ ἀπὸ τὸ ἄλλο ἡ σελήνη, καὶ τὸ τρίτον μέρος αὐτῆς ὡς αἷμα· καὶ ἀστέρες πολλοί, τὸ τρίτον μέρος αὐτῶν ἔχοντες μελανόν· καὶ ὑποκάτωθεν αὐτῶν θάλασσα καὶ φωτία σμιγμένη μὲ τὰ κύματά της, καὶ ἐν μέσῳ αὐτῆς ὄρος καιόμενον, ἀπὸ φωτίαν, καὶ πλοῖα μὲ τὰ πλοιάριά των συντριμμένα, καὶ ἄνω κάτω γυρισμένα· καὶ ἔξωθεν τῆς θαλάσσης δένδρα πολλὰ καὶ χορτάρια καιόμενα, καὶ πλησίον αὐτῶν ποταμός, καὶ εἰς τὸ μέσον ἀστὴρ μέγας ἀκτινοβολῶν, καὶ πλησίον τοῦ ποταμοῦ ἄλλοι ἄνθρωποι πίνοντες, καὶ ἄλλοι ἀποθαμμένοι κείμενοι κατὰ γῆς.

Καὶ ὁ πέμπτος ἄγγελος ἐσάλπισε, καὶ εἶδον ἀστέρα ἐκ τοῦ οὐρανοῦ πεπτωκότα εἰς τὴν γῆν, καὶ ἐδόθη αὐτῷ ἡ κλεὶς τοῦ φρέατος τῆς ἀβύσσου· καὶ ἀνέβη καπνὸς ἐκ τοῦ φρέατος ὡς καπνὸς καμίνου μεγάλης, καὶ ἐσκοτίσθη ὁ ἥλιος, καὶ ὁ ἀὴρ ἐκ τοῦ καπνοῦ τοῦ φρέατος. Καὶ ἐκ τοῦ καπνοῦ ἐξῆλθον ἀκρίδες εἰς τὴν γῆν κτλ. (1).

§ 331. Νέφη καὶ ἐπ αὐτῶν ἄγγελος βλέπων πρὸς τὰ κάτω καὶ σαλπίζων βαστᾷ κλειδὶ εἰς τὴν χεῖρα του· καὶ ὑποκάτωθεν αὐτοῦ πηγάδι μεγάλον, καὶ καπνὸς πολὺς ἐξερχόμενος ἐξ αὐτοῦ σκοτίζει τὸν ἥλιον καὶ τὸν ἀστέρα· καὶ ἀναμέσον αὐτοῦ ἀστὴρ μέγας θαμβωμένος ἐκ τοῦ καπνοῦ· καὶ ἀκρίδες ἐξ αὐτοῦ ἐξερχόμεναι ἔχουσαι κεφαλὰς καὶ πρόσωπα ἀνθρώπων, τρίχας γυναικῶν, καὶ οἱ ὀδόντες αὐτῶν ὡς ὀδόντες λεόντων, καὶ φοροῦσαι στέφανα χρυσᾶ εἰς τὴν

---

(1) Ἀποκαλ. κεφ. θ'. 1.

κεφαλήν των, καὶ σιδηροπουκάμισα εἰς τὰ κορμία των, καὶ ἔχουσαι τὰς οὐράς των ὁμοίας σκορπίων, καὶ κέντρα εἰς τὰς οὐράς των καὶ τὰ πτερά των ὡς ἀσπίδων καὶ ἀπὸ τὸ ἓν καὶ ἄλλο μέρος τοῦ πηγαδίου βουνὰ καὶ ἄνθρωποι κείμενοι εἰς αὐτά.

Καὶ ὁ ἕκτος ἄγγελος ἐσάλπισε, καὶ ἤκουσα φωνὴν μίαν ἐκ τῶν τεσσάρων κεράτων τοῦ θυσιαστηρίου τοῦ χρυσοῦ τοῦ ἐνώπιον τοῦ Θεοῦ, λέγουσαν τῷ ἕκτῳ ἀγγέλῳ, ὃς εἶχε τὴν σάλπιγγα. Λῦσον τοὺς τέσσαρας ἀγγέλους τοὺς δεδεμένους, ἐπὶ τῷ ποταμῷ τῷ μεγάλῳ Εὐφράτῃ κτλ. (1).

§ **332.** Οὐρανὸς καὶ ἐπάνω αὐτοῦ ὁ Ἄναρχος Πατὴρ λευκοφόρος καθήμενος εἰς θρόνον, καὶ ἔμπροσθέν του θυσιαστήριον χρυσοῦν, καὶ ἐκ δεξιῶν του ἄγγελος σαλπίζων καὶ βλέπων κάτω· καὶ ὑποκάτωθεν αὐτοῦ βουνὰ καὶ τέσσαρες ἄγγελοι κατακόπτοντες ἀνθρώπους· καὶ μέσον τῶν ἀγγέλων πλῆθος στρατιωτῶν φοροῦντες σιδηροπουκάμισα πύρινα καὶ πορφυρογάλαζα καὶ περικεφαλαίας σιδηρᾶς μὲ σιργούτζια καθήμενοι εἰς ἄλογα ἔχοντα κεφαλὰς λεόντων, καὶ οὐρὰς ὄφεων ληγούσας εἰς κεφαλάς, καὶ ἐκ τοῦ στόματος αὐτῶν ἐξέρχεται πῦρ καὶ καπνός· ὑποκάτω δὲ τῶν ποδῶν καὶ κατὰ πρόσωπον αὐτῶν πλῆθος ζώντων, ἐξ ὧν οἱ μὲν ἔντρομοι ἵστανται, οἱ δὲ φεύγουσι, καὶ τὰ ὄπισθεν βλέπουσιν ἔκθαμβοι.

Καὶ εἶδον ἄλλον ἄγγελον ἰσχυρὸν καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, περιβεβλημένον νεφέλην, καὶ ἶρις ἐπὶ τῆς κεφαλῆς, καὶ τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος καὶ οἱ πόδες αὐτοῦ ὡς στῦλοι πυρός, καὶ εἶχεν ἐν τῇ χειρὶ αὐτοῦ βιβλίον ἀνεῳγμένον· καὶ ἔθηκε τὸν πόδα αὐτοῦ τὸν δεξιὸν ἐπὶ τὴν θάλασσαν, τὸν δὲ εὐώνυμον ἐπὶ τὴν γῆν κτλ. (2).

§ **333.** Οὐρανὸς καὶ ὑποκάτω αὐτοῦ θάλασσα καὶ γῆ· καὶ εἷς ἄγγελος ἐνδεδυμένος νεφέλας ἔχων τὸ μὲν πρόσωπόν του λαμπρὸν ὡς ἥλιος ἐκπέμπει ἀκτῖνας, τοὺς δὲ πόδας ὡς στύλους πυρός·

---

(1) Ἀποκαλ. κεφ. θ' 13.—(2) κεφ. ι 1.

καὶ τὸν μὲν δεξιὸν πόδα ἔχει ἐπὶ τὴν θάλασσαν, τὸν δὲ ἀριστερὸν ἐπὶ τὴν γῆν· καὶ βαστῶν μὲ τὸ ἕνα του χέρι βιβλιάριον· τὸ δὲ ἄλλο ἀπλωμένον ἔχει εἰς τὸν οὐρανόν. Καὶ ὁ Ἰωάννης πλησίον του γονατιστὸς λαμβάνει τὸ βιβλίον ἐκ τῆς χειρός του.

Καὶ ἐδόθη μοι κάλαμος ὅμοιος ῥάβδῳ· καὶ ὁ ἄγγελος ἑστήκει λέγων, ἔγειραι, καὶ μέτρησον τὸν ναὸν τοῦ Θεοῦ, καὶ τὸ θυσιαστήριον, καὶ τοὺς προσκυνοῦντας ἐν αὐτῷ καὶ τὴν αὐλὴν τὴν ἔσωθεν τοῦ ναοῦ ἔκβαλε ἔξω, καὶ μὴ αὐτὴν μετρήσῃς, ὅτι ἐδόθη τοῖς ἔθνεσι· καὶ τὴν πόλιν τοῦ ἁγίου πατήσουσι μῆνας τεσσαράκοντα δύο κτλ. (1).

§ 334. Ναὸς καὶ ἐν αὐτῷ θυσιαστήριον, καὶ ὁ Ἰωάννης μετρῶν αὐτὸν μὲ κάλαμον, καὶ ὑποκάτωθεν αὐτοῦ θηρίον ἱστάμενον φορεῖ διάδημα εἰς τὴν κεφαλήν του, καὶ ἔχων πτερά, καὶ ὁ Ἐνὼχ καὶ ὁ Ἠλίας ἀνερχόμενοι εἰς τὸν οὐρανὸν μετὰ νεφελῶν· καὶ πλησίον τοῦ ναοῦ ὀσπήτια, καὶ μερικὰ ἀπ' αὐτὰ κρημνισμένα, καὶ ἄνθρωποι θανατωμένοι εἰς αὐτά, καὶ ἄλλοι ἔχοντες χεῖρας καὶ ὄμματα ὑψωμένα εἰς τὸν οὐρανόν.

Καὶ ὁ ἕβδομος ἄγγελος ἐσάλπισε, καὶ ἐγένοντο φωναὶ μεγάλαι ἐν τῷ οὐρανῷ λέγουσαι, ἐγένοντο αἱ βασιλεῖαι τοῦ κόσμου τοῦ Κυρίου ὑμῶν καὶ τοῦ Χριστοῦ αὐτοῦ, καὶ βασιλεύσει εἰς τοὺς αἰῶνας τῶν αἰώνων κτλ. (2).

§ 335. Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καθήμενος ἐπὶ νεφελῶν εἰς θρόνον ὑψηλόν, καὶ κύκλῳ αὐτοῦ τὰ τάγματα τῶν ἀγγέλων· καὶ κδ'. πρεσβύτεροι γονυκλιτοί, καὶ προσκυνοῦντες αὐτὸν καὶ ἐκ δεξιῶν ναὸς καὶ μέσα εἰς αὐτὸν ἡ Κιβωτὸς κεχρυσωμένα, καὶ ὑποκάτωθεν αὐτοῦ ἄνθρωποι πολλοί, καὶ ἀστραπαὶ καὶ χάλαζα μεγάλη πίπτουσα ἀπὸ τὸν οὐρανόν.

Καὶ σημεῖον μέγα ὤφθη ἐν τῷ οὐρανῷ, γυνὴ περιβεβλημένη τὸν ἥλιον, καὶ ἡ σελήνη ὑποκάτω τῶν ποδῶν αὐτῆς, καὶ ἐπὶ τῆς κεφαλῆς αὐτῆς στέφανος ἀστέρων δώδεκα (3).

---

(1) Ἀποκαλ. κεφ. ιά. 1.—(2) κεφ. ιά. 15.—(3) κεφ. ιβ'. 1.

§ 336. Ἡ Παναγία ἐπάνω εἰς νέφελα μὲ πορφυροῦν φόρεμα, καὶ μὲ πτέρυγας ἀγγέλου, καὶ γύρωθεν τοῦ στεφάνου της ἀστέρες δώδεκα, καὶ κύκλωθέν της ἀκτῖνες ἡλίου ἀπὸ κεφαλῆς ἕως τῶν ποδῶν της· καὶ ὑπὸ τοὺς πόδας της ἡ σελήνη καὶ ἔμπροσθεν αὐτῆς εἷς δράκων κόκκινος ἔχων ἑπτὰ κεφαλὰς καὶ φορῶν διαδήματα ἑπτὰ καὶ κέρατα δέκα, καὶ εὐγαίνει ἀπὸ τὸ στόμα του νερόν, ὡς ποταμὸς καὶ ὄπισθεν τῆς οὐρᾶς πλῆθος ἀστέρων καὶ ἐπάνωθεν τῆς Παναγίας δύο ἄγγελοι βαστάζοντες μέσα εἰς μανδῆλι τὸν Χριστὸν ὡς βρέφος, καὶ γύρωθεν αὐτῆς νέφη πολλά.

Καὶ εἶδον ἐκ τῆς θαλάσσης θηρίον ἀναβαῖνον, ἔχον κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα, καὶ ἐπὶ τῶν κεράτων αὐτοῦ δέκα διαδήματα, καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ ὄνομα βλασφημίας· καὶ τὸ θηρίον ὃ εἶδον ἦν ὅμοιον παρδάλει, καὶ οἱ πόδες αὐτοῦ ὡς ἄρκτου, καὶ τὸ στόμα ὡς στόμα λέοντος κτλ. ἕως τοῦ ἐστάλη ὁ δράκων (1).

§ 337. Γῆ καὶ θάλασσα, καὶ ἐκ τῆς θαλάσσης ἐξέρχεται θηρίον ἑπτακέφαλον καὶ ἄνθρωποι μεγιστάνες προσκυνοῦσιν αὐτό, καὶ ἔμπροσθέν του ἄλλο μικρότερον θηρίον εἰς τὴν γῆν ἔχον δύο κέρατα ἀρνίου, καὶ ὄπισθεν αὐτῶν οὐρανὸς καὶ πῦρ καὶ χάλαζα κατερχόμενα ἐξ αὐτοῦ.

Καὶ εἶδον, καὶ ἰδοὺ ἀρνίον ἑστηκὸς ἐπὶ τοῦ ὄρους Σιών, καὶ μετ' αὐτοῦ ἑκατὸν τεσσαρακοντατέσσαρες χιλιάδες, ἔχουσαι τὸ ὄνομα τοῦ πατρὸς αὐτοῦ γεγραμμένον ἐπὶ τῶν μετώπων αὐτῶν . . . . . οὗτοί εἰσιν οἱ μετὰ γυναικῶν οὐκ ἐμολύνθησαν, παρθένοι γάρ οὗτοί εἰσιν οἱ ἀκολουθοῦντες τῷ ἀρνίῳ ὅπου ἂν ὑπάγῃ κτλ. (2).

§ 338. Ὄρος ὑψηλόν, καὶ ἐπάνω αὐτοῦ ἀρνίον ἱστάμενον φοροῦν στέφανον καὶ βαστάζουν σκῆπτρον· εἰς δὲ τὸν πόδα αὐτοῦ ἔχον σταυρόν, καὶ εἰς τὴν κορυφὴν τοῦ σκήπτρου σταυρός, καὶ εἰς τὰ τέσσαρα μέρη τοῦ θρόνου οἱ τετράμορφοι εὐαγγελισταὶ καὶ οἱ εἰ-

---

(1) Ἀποκαλ. κεφ. ιγ'. 1.—(2) κεφ. ιδ'. 1.

κοσιτέσσαρες πρεσβύτεροι ἔνθεν καὶ ἔνθεν καὶ πλῆθος ἀγγέλων βαστάζοντες κιθάρας, καὶ πλησίον παρθένοι πολλαὶ λευκοφόροι ἔχουν τὰς χεῖρας καὶ ὄμματα ἀπλωμένα εἰς τὸ ἀρνίον· κάτωθεν δ' αὐτῶν νεφέλαι καὶ ἐπ' αὐτῶν τρεῖς ἄγγελοι βλέποντες κάτω, καὶ ὁ εἷς βαστῶν εὐαγγέλιον λέγει· *φοβήθητε τὸν Θεὸν καὶ δότε αὐτῷ δόξαν, ὅτι ἦλθεν ἡ ὥρα τῆς κρίσεως αὐτοῦ·* καὶ ἄλλος ἐκ δεξιῶν τοὺς δεικνύει μὲ τὴν μίαν κάτω καὶ μὲ τὴν ἄλλην (χεῖρά του) βαστᾷ χαρτὶ λέγων· *ἔπεσεν ἔπεσε Βαβυλὼν ἡ πόλις ἡ μεγάλη·* καὶ ἕτερος ἄγγελος ἐξ ἀριστερῶν αὐτοῦ ἔχων καὶ αὐτὸς τὴν μίαν χεῖρα ἁπλωμένην καὶ μὲ τὴν ἄλλην βαστᾷ, χαρτὶ λέγων. *Εἴ τις τῷ θηρίῳ προσκυνεῖ καὶ λαμβάνει τὸ χάραγμα ἐπὶ τοῦ μετώπου αὐτοῦ ἢ ἐπὶ τὴν χεῖρα αὐτοῦ, καὶ οὗτος πίεται ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τοῦ θεοῦ.* Κάτωθεν δ' αὐτῶν Βαβυλὼν ἡ πόλις ἡ μεγάλη χαλασμένη.

Καὶ εἶδον, καὶ ἰδοὺ νεφέλη λευκή, καὶ ἐπὶ τὴν νεφέλην καθήμενος ὅμοιος υἱῷ ἀνθρώπου, ἔχων ἐπὶ τῆς κεφαλῆς αὐτοῦ στέφανον χρυσοῦν, καὶ ἐν τῇ χειρὶ αὐτοῦ δρέπανον ὀξὺ κτλ. (1).

§ 339. Νέφη καὶ ἐπάνω αὐτῶν ὁ Χριστὸς φορῶν κορόναν καὶ εἰς τὴν χεῖρά του φέρει δρέπανον κοπτερὸν καὶ μεγάλον, καὶ θέτει αὐτὸ εἰς τὴν γῆν καὶ θερίζει· καὶ ἄγγελος πάλιν βαστῶν καὶ αὐτὸς δρέπανον κοπτερὸν καὶ κόπτει σταφύλια καὶ τὰ ρίπτει μέσα εἰς τὸ ποτῆρι, καὶ εὐγαίνει αἷμα ἀντὶ οἴνου. Καὶ ἐπάνωθεν αὐτῶν οὐρανός, καὶ ἐπάνω τοῦ οὐρανοῦ ναός, καὶ ἐν αὐτῷ θυσιαστήριον, καὶ ἐκ τῶν θυρῶν τοῦ ναοῦ ἐξέρχεται εἷς ἄγγελος, καὶ βλέπων τὸν Χριστὸν ἁπλώνει τὴν μίαν χεῖρα πρὸς αὐτόν, καὶ μὲ τὴν ἄλλην βαστᾷ χαρτὶ λέγων· *Πέμψον τὸ δρέπανον τὸ ὀξὺ καὶ τρύγησον τοὺς βότρυας τῆς γῆς.*

Καὶ εἶδον ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ μέγα καὶ θαυμαστόν, ἀγγέλους ἑπτὰ ἔχοντας πληγὰς ἑπτὰ τὰς ἐσχάτας, ὅτι ἐν αὐταῖς ἐτελέσθη ὁ θυμὸς τοῦ Θεοῦ (2).

(1) Ἀποκάλ. κεφ. ιδ' 14.— (2) κεφ. ιέ 1.

§ **340.** Βουνὰ καὶ ἄνθρωποι πολλοὶ ἄλλοι κείμενοι εἰς τὴν γῆν ἄλλοι λιποθυμημένοι καὶ πληγωμένοι βλέποντες ἄνω· καὶ ἐν μέσῳ αὐτῶν ὁ Ἀντίχριστος καθήμενος εἰς θρόνον, καὶ ἕνα θηρίον ἔχων πτερὰ καὶ φορῶν κορόναν, καὶ ἑπτακέφαλος δράκων· ἐκ τοῦ στόματος αὐτῶν εὐγαίνουν τρία πνεύματα ἀκάθαρτα ὅμοια βατράχοις· καὶ κάστρον χαλασμένον πλησίον, καὶ ἡ θάλασσα καὶ οἱ ποταμοὶ ὡς αἷμα καὶ ὁ Εὐφράτης ποταμὸς ὁ μέγας καταξηραμμένος, καὶ ἄνωθεν αὐτῶν οὐρανός, καὶ ὁ ἥλιος ἔχων μεγάλας ἀκτῖνας ἁπλωμένας εἰς τοὺς οὐρανούς, καὶ χάλαζα κατερχομένη ἐκ τοῦ οὐρανοῦ· καὶ ἐπάνωθεν τοῦ οὐρανοῦ ἡ σκηνὴ τοῦ Μαρτυρίου καὶ ἐξ αὐτῆς ἐξέρχονται ἑπτὰ ἄγγελοι λευκοφόροι, φοροῦντες ζώνας χρυσᾶς καὶ ὁ μὲν πρῶτος ἄγγελος χύνει τὴν φιάλην εἰς τὴν γῆν καὶ εἰς τοὺς οὐρανούς, ὁ δὲ δεύτερος εἰς τὴν θάλασσαν, ὁ τρίτος εἰς τοὺς ποταμούς, ὁ τέταρτος εἰς τὸν ἥλιον, ὁ πέμπτος εἰς τὸν θρόνον τοῦ Ἀντιχρίστου, ὁ ἕκτος εἰς τὸν Εὐφράτην ποταμόν, ὁ ἕβδομος εἰς τὸν ἀέρα.

Καὶ εἶδον γυναῖκα καθημένην ἐπὶ θηρίον κόκκινον, γέμον ὀνομάτων βλασφημίας, ἔχον κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα· καὶ ἡ γυνὴ ἡ περιβεβλημένη πορφύρᾳ κτλ. ἕως τὸ γέμον πορνείας (1).

§ **341.** Ἑπτὰ κορυφαὶ βουνῶν καὶ ἐπ' αὐτῶν θηρίον ἑπτακέφαλον ἔχον κέρατα δέκα. Καὶ ἐπάνω αὐτοῦ γυνὴ καθημένη φοροῦσα κορῶναν τρίδιπλην καὶ χρυσοῦφαντα ἱμάτια καὶ κρατοῦσα εἰς τὴν δεξιάν της ποτήριον χρυσοῦν, προσφέρει αὐτὸ πρὸς τοὺς βασιλεῖς, καὶ δέκα βασιλεῖς ἔμπροσθεν τοῦ θηρίου βλέποντες πρὸς αὐτὴν καὶ ὄπισθεν τοῦ θηρίου οἱ ἄρχοντες μὲ τοὺς μεγιστάνας τῆς γῆς καὶ τὰ γράμματα. *Ἡ Βαβυλὼν ἡ μεγάλη τῶν πορνῶν καὶ τῶν βδελυγμάτων τῆς γῆς.*

Καὶ μετὰ ταῦτα εἶδον ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ ἔχοντα ἐξουσίαν μεγάλην· καὶ ἡ γῆ ἐφωτίσθη ἐκ τῆς δόξης αὐτοῦ· καὶ ἔπραξεν ἐν ἰσχύϊ, φωνῇ μεγάλῃ κτλ. (2).

---

(1) Ἀποκάλ. κεφ. ιζ' 3. — (2) κεφ. ιη' 1.

§ 342. Γῆ καὶ ὄρη καὶ θάλασσα καὶ πόλεις καιόμεναι ὑπὸ πυρός, καὶ φλὸξ ἀναβαίνουσα εἰς τὸν ἀέρα, καὶ μακρόθεν ἵστανται βασιλεῖς, μεγιστᾶνες, καὶ πραγματευταὶ βλέποντες τὴν πόλιν καὶ θρηνοῦντες· ἄλλοι τραβοῦντες τὰς τρίχας τῆς κεφαλῆς των, κρούοντες τὰ στήθη τους, ἄλλοι ἔχοντες χεῖρας καὶ ὄμματα ἐκτεθειμένα ἄνω, καὶ ἄλλο πλῆθος ἄνθρωποι θαυμάζουν· καὶ ἐπάνωθεν οὐρανός, καὶ ἐξ αὐτοῦ εἷς ἄγγελος καταβαίνων μὲ ἄπειρον φῶς κύκλῳ αὐτοῦ, καὶ μὲ τὴν δεξιὰν δεικνύει τὴν Πόλιν, μὲ τὴν ἀριστερὰν βαστᾷ χαρτὶ λέγων, *ἔπεσεν ἔπεσε Βαβυλὼν ἡ Πόλις ἡ μεγάλη*. Καὶ ἕτερος ἄγγελος πλησίον αὐτοῦ ἐπὶ νεφελῶν ῥίπτει εἰς τὴν θάλασσαν λίθον ὡς μῦλον μέγαν, καὶ βαστάζει χαρτὶ λέγων, *οὕτως ὁρμήματι βληθήσεται Βαβυλὼν ἡ Πόλις ἡ μεγάλη, καὶ οὐ μὴ εὑρεθῇ ἔτι*. Καὶ ὑποκάτω τῶν ἀγγέλων ἄλλα σκοτεινὰ νέφη ῥίπτοντα χάλαζαν μὲ φωτίαν εἰς τὴν θάλασσαν καὶ εἰς τὴν γῆν· καὶ ἐπάνωθεν τοῦ οὐρανοῦ ὁ ἄναρχος πατὴρ καθήμενος εἰς θρόνον· καὶ πλησίον τοῦ θρόνου δύω ἄγγελοι βαστάζοντες χαρτία· ὁ εἷς ἐκ δεξιῶν λέγων· *Αἰνεῖτε τὸν θεὸν πάντες οἱ δοῦλοι αὐτοῦ·* καὶ ὁ ἕτερος ὁ ἐξ ἀριστερῶν λέγων· *Καὶ οἱ φοβούμενοι αὐτὸν μικροί τε καὶ μεγάλοι*. Καὶ κύκλῳ τοῦ θρόνου οἱ τετράμορφοι εὐαγγελισταί, καὶ τὰ τάγματα τῶν ἀγγέλων. Καὶ ἄλλος λαὸς πολὺς φοροῦντες στολὰς λευκάς, καὶ βαστοῦντες χαρτία λέγοντα *Ἀλληλούϊα, ἡ σωτηρία καὶ ἡ δόξα, καὶ ἡ τιμή, καὶ ἡ δύναμις Κυρίῳ τῷ Θεῷ ἡμῶν . . . . . ὅτι ἔκρινε τὴν πόρνην τὴν μεγάλην . . . . καὶ ἐξεδίκασε τὸ αἷμα τῶν δούλων αὐτοῦ ἐκ τῆς χειρὸς αὐτοῦ . . . Ἀλληλούϊα*.

Καὶ εἶδον τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ ἰδοὺ ἵππος λευκός· καὶ ὁ καθήμενος ἐπ' αὐτόν, καλούμενος πιστὸς καὶ ἀληθινός, καὶ ἐν δικαιοσύνῃ κρίνει καὶ πολεμεῖ . . . . καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ ὁ Λόγος τοῦ Θεοῦ κτλ. ἕως τό, ἵνα φάγητε σάρκας βασιλέων (1).

(1) Ἀποκάλ. κεφ. ιθ'. 11.

§ 343. Οὐρανὸς ἀνεῳγμένος, καὶ ἐξ αὐτοῦ ἐξερχόμενος ὁ Χριστὸς ἐπὶ νεφελῶν, καθήμενος ἐφ' ἵππου λευκοῦ, φορῶν ἱμάτιον κόκκινον, καὶ φόρεμα εἰς τὴν κεφαλήν του, καὶ ἀπὸ τὸ στόμα του εὐγαίνει σπαθὶ κοπτερὸν καὶ μεγάλον, καὶ ἐπάνωθεν αὐτοῦ ὁ *Βασιλεὺς Βασιλέων καὶ Κύριος Κυρίων*. Καὶ ὄπισθεν αὐτοῦ τὰ στρατεύματα καθήμενα ἐφ' ἵππων λευκῶν φοροῦντα ἱμάτια λευκά, καὶ περικεφαλαίας, καὶ ζῶνας χρυσᾶς, καὶ βαστάζοντα σπαθία κοπτερὰ καὶ ἔμπροσθεν βασιλεῖς καὶ μεγιστᾶνες, καὶ στρατιῶται καθήμενοι ἐφ' ἵππων μελανῶν, καὶ βαστάζοντες σπαθία καὶ νενικημένοι φεύγουν καὶ βλέπουν εἰς τὰ ὀπίσω, καὶ ἄλλοι κείμενοι θανατωμένοι εἰς τὴν γῆν ἄλλοι κρεμαζόμενοι ἀπὸ τ' ἄλογά τους καὶ πτηνὰ σαρκοφάγα τρώγουν τὰς σάρκας των καὶ ἐπάνωθεν αὐτῶν εἷς ἄγγελος ἱστάμενος ἐπάνω τοῦ ἡλίου καὶ βλέπων τὰ πτηνά, λέγει εἰς χαρτί· *Δεῦτε καὶ συνάγεσθε εἰς τὸν δεῖπνον τὸν μεγάλον τοῦ Θεοῦ, ἵνα φάγητε σάρκας βασιλέων, καὶ σάρκας χιλιαρχῶν, καὶ σάρκας ἰσχυρῶν κτλ.* Καὶ πλησίον τῶν κειμένων ἀνθρώπων, Ἅδης καὶ ὁ πύρινος ποταμὸς καὶ δύω ἄγγελοι κρατοῦντες τὸ θηρίον τὸ ἑπτακέφαλον καὶ τὸν Ἀντίχριστον, ῥίπτουσιν αὐτὸν μέσα εἰς τὸν πύρινον ποταμόν.

Καὶ εἶδον ἄλλον ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, ἔχοντα τὴν κλεῖδα τῆς ἀβύσσου, καὶ ἄλυσον μεγάλην κτλ. (1).

§ 344. Οὐρανὸς καὶ ἐξ αὐτοῦ κατέρχεται ἄγγελος βαστῶν εἰς τὴν μίαν του χεῖρα κλειδίον καὶ μὲ τὴν ἄλλην βαστᾷ τὴν ἄλυσον, ἡ ἔχει δεμένον τὸν διάβολον καὶ βάζει μέσα αὐτὸν εἰς τὸν παμφάγον Ἅδην.

Καὶ εἶδον θρόνον λευκὸν μέγαν, καὶ τὸν καθήμενον ἐπ' αὐτοῦ οὗ ἀπὸ προσώπου ἔφυγεν ἡ γῆ καὶ ὁ οὐρανός, καὶ τόπος οὐχ εὑρέθη αὐτοῖς· καὶ εἶδον τοὺς νεκρούς, μικροὺς καὶ μεγάλους, ἑστῶτας ἐνώπιον τοῦ θεοῦ, καὶ βιβλία ἠνεῴχθησαν. (2).

§ 345· Ὁ Χριστὸς καθήμενος ἐπὶ θρόνου λευκοῦ, καὶ γύρωθεν

(1) Ἀποκάλ. κεφ. κί. 1. — (2) κεφ. κ'. 11.

αὐτοῦ τὰ τάγματα τῶν ἀγγέλων, καὶ τὰ λοιπὰ τῆς Δευτέρας Παρουσίας (ἴδε § 347).

Καὶ ἐγὼ ὁ Ἰωάννης εἶδον τὴν πόλιν τὴν ἁγίαν, Ἱερουσαλὴμ καινὴν καταβαίνουσαν ἀπὸ τοῦ Θεοῦ ἐκ τοῦ Οὐρανοῦ, ἡτοιμασμένην ὡς νύμφην κεκοσμημένην τῷ ἀνδρὶ αὐτῆς· καὶ ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ οὐρανοῦ λεγούσης, Ἰδοὺ ἡ σκηνὴ τοῦ Θεοῦ κτλ. (1).

§ 346. Κάστρον τῆς Ἱερουσαλήμ, ὡραϊσμένον μὲ πολύτιμα λιθάρια, καὶ περικεχρυσωμένον τετράγωνον ἔχον πύλας δώδεκα, ἀπὸ ἀνατολὰς πύλας τρεῖς· ἀπὸ βορρᾶν πύλας τρεῖς, ἀπὸ μεσημβρίαν πύλας τρεῖς, ἀπὸ δυσμῶν πύλας τρεῖς, καὶ εἰς κάθε πύλην ἱστάμενος ἕνας ἄγγελος βαστῶν εἰς τὴν δεξιὰν ῥάβδον χρυσῆν καὶ εἰς τὴν ἀριστερὰν σφραγῖδα θεοῦ Ζῶντος (☓). Καὶ ὁ ἅγιος Ἰωάννης ἱστάμενος εἰς ὄρος ὑψηλὸν βλέπει αὐτήν, καὶ ἐπάνωθεν αὐτῆς οὐρανὸς ἀνεωγμένος καὶ ὁ Χριστὸς καθήμενος ἐπὶ θρόνου ἀπὸ τὸν ὁποῖον ἐξήρχετο ἄπειρον φῶς καὶ καταβαίνει εἰς τὸ κάστρον καὶ κύκλῳ τοῦ Χριστοῦ ὅλα τὰ τάγματα τῶν ἀγγέλων, καὶ τῶν ἁγίων, καὶ κδ'. πρεσβύτεροι. Καὶ εἷς ἄγγελος ἐκ τοῦ θρόνου βλέπων πρὸς τὸν Ἰωάννην δεικνύει αὐτῷ τὸ κάστρον λέγων εἰς χαρτί· *Ἰδοὺ ἡ σκηνὴ τοῦ θεοῦ*· καὶ ἕτερος ἄγγελος βαστῶν κάλαμον χρυσὸν μετρᾷ τὴν ἁγίαν πόλιν Ἱερουσαλήμ.

ΚΓ'. ΥΠΟΘΕΣΕΙΣ ΕΚ ΤΩΝ ΠΡΟΦΗΤΩΝ ΚΑΙ ΤΟΥ ΕΥΑΓΓΕΛΙΟΥ

ΠΕΡΙ ΤΗΣ ΔΕΥΤΕΡΑΣ ΠΑΡΟΥΣΙΑΣ ΤΟΥ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ

Πῶς ἱστορίζεται ἡ δευτέρα παρουσία τοῦ Χριστοῦ, Ἰησοῦ τοῦ Σωτῆρος ἡμῶν.

§ 347. Ὁ Χριστὸς καθήμενος ἐπὶ τῶν πυριμόρφων καὶ Χερου-

(1) Ἀποκάλ. κεφ. κά. 2

βικῶν Θρόνων, φεγγοφόρος καὶ ἀστράπτων λίαν ἐν μέσῳ τοῦ ἡλίου καὶ τῆς σελήνης καὶ τῶν ἀστέρων, προπορευομένου τοῦ σταυροῦ· φέρει δὲ ὡς βασίλισσαν ἐκ δεξιῶν αὐτοῦ καὶ τὴν Ἀειπάρθενον Μαρίαν· καὶ μετὰ ψαλμῶν καὶ ὕμνων καὶ ὀργάνων πνευματικῶν πολλῶν, καὶ δόξης μεγίστης ὑπὸ πασῶν τῶν Ἀρχαγγελικῶν καὶ Ἀγγελικῶν ἐπουρανίων στρατευμάτων, ἔρχεται ἐπὶ νεφελῶν τοῦ οὐρανοῦ εὐλογῶν μὲ τὰς παναχράντους αὐτοῦ χεῖρας καὶ φέρων ἐπὶ τοῦ στήθους εὐαγγέλιον ἀνοικτὸν λέγων· *Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν*· καὶ τὸ *Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον*· καὶ ἐπάνωθεν αὐτοῦ αὕτη ἡ ἐπιγραφή: *Ἰησοῦς Χριστός, ἡ δόξα, ἡ χαρὰ τῶν δικαίων*. Καὶ οἱ ἅγιοι πάντες προϋπαντοῦσιν αὐτόν· κατὰ τάξιν τῇ θείᾳ αὐτοῦ δυνάμει ἀνερχόμενοι ἐκ τῆς γῆς εἰς τὸν οὐρανὸν ἅπαντες ἐπὶ νεφελῶν οὕτως: α'. ὁ χορὸς τῶν Ἀποστόλων, β'. ὁ χορὸς τῶν Προπατόρων, γ'. ὁ χορὸς τῶν Πατριαρχῶν, δ'. ὁ χορὸς τῶν Προφητῶν, ε'. ὁ χορὸς τῶν Ἱεραρχῶν καὶ ὁ χορὸς τῶν Μαρτύρων, ζ'. ὁ χορὸς τῶν Ὁσίων, η'. ὁ χορὸς τῶν Εὐσεβῶν Βασιλέων, καὶ θ'. ὁ χορὸς τῶν Μαρτύρων καὶ Ὁσίων γυναικῶν φέροντες ἕκαστος ὡς κλάδον ἐν χερσὶ τὰς ἀρετὰς αὐτῶν. Καὶ ὑποκάτωθεν αὐτῶν ὁ ἄγγελος ἐν τῷ ἀέρι ἱπτάμενος καὶ σαλπίζων τῇ ἐσχάτῃ σάλπιγγι· καὶ ἡ γῆ μετὰ τῶν πόλεων καὶ λοιπῶν οἰκημάτων αὐτῆς ὑποκάτωθεν αὐτοῦ· ὁμοίως καὶ ἡ θάλασσα μετὰ τῶν πλοιαρίων αὐτῆς ἀποδίδοντες εὐθέως τοὺς νεκρούς. Καὶ οἱ νεκροὶ ἐκ τῶν μνημάτων καὶ ὑδάτων ἐγειρόμενοι μετὰ θάμβους πολλοῦ, διαφορετικοὶ ἕνας ἀπὸ τὸν ἄλλον ἁρπάζονται ὑπὸ τῶν νεφελῶν ἅπαντες· καὶ οἱ μὲν δίκαιοι ἔρχονται πρὸς τὴν ἀπάντησιν αὐτοῦ, οἱ δὲ ἁμαρτωλοὶ ὑπάγουν εἰς τὸν τόπον τῆς καταδίκης. Καὶ μακρόθεν οἱ Προφῆται μὲ χαρτία λέγοντες· ὁ Ἡσαΐας, *Αὐτὸς Κύριος εἰς κρίσιν ἥξει μετὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ, καὶ μετὰ τῶν ἀρχόντων αὐτοῦ* (κεφ. γ'. 14).

Ὁ Ἰωήλ, *Ἐγειρέσθωσαν καὶ ἀναβαινέτωσαν πάντα τὰ ἔθνη εἰς τὴν κοιλάδα Ἰωσαφὰτ* (κεφ. γ'. 12).

Ὁ Δανιήλ, *Καὶ πολλαὶ τῶν καθευδόντων ἐν γῆς χώματι ἐγερθήσονται οὗτοι εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς ὀνειδισμὸν καὶ εἰς αἰσχύνην αἰώνιον* (*κεφ. ιβ'.* 2.)

ΚΔ'. ΥΠΟΘΕΣΕΙΣ ΕΚ ΤΩΝ ΠΡΟΦΗΤΩΝ ΚΑΙ ΤΟΥ ΕΥΑΓΓΕΛΙΟΥ.

ΠΕΡΙ ΤΟΥ ΠΑΓΚΟΣΜΙΟΥ ΔΙΚΑΣΤΗΡΙΟΥ

Τὸ παγκόσμιον καὶ ἀδέκαστον κριτήριον τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

§. 348. Ὁ Χριστὸς καθήμενος ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, λευκοφόρος καὶ ἀστράπτων ὑπὲρ τὸν ἥλιον, καὶ μὲ πολὺν φόβον καὶ τρόμον ἀπὸ πασῶν τῶν ἀγγελικῶν δυνάμεων δορυφορούμενος· μὲ τὴν δεξιὰν μὲν εὐλογῶν τοὺς ἁγίους, μὲ τὴν ἀριστερὰν δὲ δεικνύων τὸν ἧλον εἰς ἁμαρτωλούς. Καὶ φῶς πολὺ κύκλωθεν, καὶ αὕτη ἡ ἐπιγραφὴ ἐπάνωθεν αὐτοῦ· *Ἰησοῦς Χριστὸς ὁ δίκαιος κριτής*. Καὶ ἐντεῦθεν καὶ ἐντεῦθεν ἡ Παναγία καὶ ὁ Πρόδρομος, πρεσβείαν ποιοῦντες, καὶ οἱ δώδεκα Ἀπόστολοι ἐπὶ δώδεκα θρόνων καὶ μετ' αὐτῶν οἱ ἅγιοι πάντες ἱστάμενοι ἐκ δεξιῶν αὐτοῦ, βαστάζοντες ἅπαντες, ὡς κλάδους, ἐν χερσὶ τὰς ἀρετάς των κατὰ τάξιν ἱστάμενοι, οὕτως εἰς τάξεις τρεῖς. Εἰς τὴν πρώτην ὁ χορὸς τῶν Προπατόρων, καὶ Πατριαρχῶν καὶ Προφητῶν, καὶ εἰς τὴν δευτέραν ὁ χορὸς τῶν Ἱεραρχῶν, Μαρτύρων καὶ Ἀσκητῶν καὶ εἰς τὴν τρίτην ὁ χορὸς τῶν Δικαίων βασιλέων καὶ τῶν Μαρτύρων καὶ Ὁσίων γυναικῶν· ἐξ ἀριστερῶν δέ, ὅλοι ὁμοῦ οἱ ἁμαρτωλοὶ διωκόμενοι ἐξ αὐτοῦ καὶ καταδικαζόμενοι μετὰ τῶν δαιμονίων καὶ τοῦ προδότου Ἰούδα, οἱ τύραννοι βασιλεῖς, οἱ εἰδωλολάτραι, οἱ ἀντίχριστοι, οἱ αἱρετικοί, οἱ φονεῖς, οἱ προδόται, οἱ κλέπται, οἱ ἅρπαγες, οἱ ἀνελεήμονες, οἱ πλεονέκται, οἱ φιλάργυροι, οἱ ψεῦσται, οἱ γόητες, οἱ μέθυσοι, οἱ πόρνοι, οἱ ἀσελγεῖς, καὶ ὅλοι οἱ μιαροὶ

καὶ ἀκάθαρτοι, καὶ πρὸ πάντων οἱ ἀγνώμονες Ἰουδαῖοι, γραμματεῖς καὶ Φαρισσαῖοι, οἵτινες μεγάλως ὀλολύζοντες τραβοῦσιν οἱ μὲν τὰς γενειάδας, οἱ δὲ τὰ ἱμάτια αὐτῶν κατέναντι τοῦ Σωτῆρος καὶ τῶν ἁγίων χορῶν, οὓς καὶ βλέπουσιν ἀσκαρδαμυκτί, καὶ τὸν Προφήτην Μωϋσῆν πλησίον αὐτῶν ἱστάμενον δεικνύοντα αὐτοῖς τὸν Ἰησοῦν Χριστὸν καὶ λέγοντα πρὸς αὐτοὺς ἐν χαρτίῳ «*Προφήτην ἀναστήσει κύριος ὁ θεός ἐκ τῶν ἡμῶν ὡς ἐμέ, αὐτοῦ ἀκούσεσθε κατὰ πάντα*» (Δευτερ. ΙΗ'). Τὸ δὲ σημεῖον τοῦ σταυροῦ ἔμπροσθεν τοῦ θρόνου μὲ τὴν Κιβωτὸν τῆς Διαθήκης Κυρίου καὶ τὰ μαρτύρια τοῦ νόμου, καὶ τῶν προφητῶν, ὁμοῦ δὲ καὶ τὸ ἅγιον Εὐαγγέλιον ἀνοικτὸν μὲ ἄλλα δύο χαρτία, τὸ μὲν ἐκ δεξιῶν καὶ τὸ ἄλλο ἐξ ἀριστερῶν, καὶ τὸ μὲν ἐκ δεξιῶν φέρει τὴν ἐπιγραφὴν ταύτην *καὶ ἐκρίθησαν οἱ νεκροὶ ἐκ τῶν γεγραμμένων ἐν τοῖς βιβλίοις κατὰ τὰ ἔργα αὐτῶν*. (Ἀποκαλ. Κ'.) τὸ δὲ ἐξ ἀριστερῶν ταύτην. *Καὶ εἴ τις οὐχ εὑρέθη ἐν τῇ βιβλίῳ τῆς ζωῆς γεγραμμένος ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρός*. Γράψον δὲ καὶ τὸν πύρινον ποταμὸν ἐξερχόμενον ἐκ τῶν ποδῶν τοῦ Χριστοῦ, καὶ τοὺς πονηροὺς καὶ ἀνελεήμονας δαίμονας, ῥίπτοντας ἁμαρτωλούς, καὶ δεινῶς βασανίζοντες τοὺς ῥιπτομένους μὲ διάφορα ὄργανα τυραννικά, ἤτοι καμάκια, λόγχας, καὶ τὰ παρόμοια, ὧν οἱ μὲν ὠθοῦσιν αὐτοὺς μὲ τὰ κοντάρια μέσα εἰς τὰς φλόγας, οἱ δὲ φλογεροὶ δράκοντες, περιπλεγμένοι ὄντες μὲ τὰς σάρκας τῶν ἁμαρτωλῶν, τοὺς σύρουσι καὶ τοὺς καταβιβάζουν βιαίως εἰς τὰ καταχθόνια, ὅπου ἐστὶ *τὸ σκότος τὸ ἐξώτερον, τὰ δεσμὰ τὰ ἄλυτα, ὁ βρυγμὸς τῶν ὀδόντων, ὁ σκώληξ ὁ ἀκοίμητος, καὶ τελευταῖον τὸ πῦρ τὸ ἄσβεστον*, διὰ νὰ βασανίζωνται καὶ νὰ τιμωρῶνται ἐκεῖ αἰωνίως. Οἵτινες καὶ φαίνονται ὅλοι ἀπό τινα χάσματα ἔσωθεν σιδηροδέσμιοι καὶ ζοφεροὶ πολλά, κτυπῶντες τοὺς ὀδόντας ἐλεεινῶς, καὶ ἀκαταπαύστως καιόμενοι ἀπὸ τὸ πῦρ, καὶ ἀπὸ τοὺς σκώληκας πάντοτε ἐσθιόμενοι ὁμοῦ μὲ τὸν ἀνελεήμονα πλούσιον, βλέποντες μακρόθεν τοὺς κόλπους τοῦ Ἀβραάμ, τὸν παράδεισον αὐτόν, μὲ ὅλους τοὺς ἁγίους εὐφραινόμενος ἔσωθεν κατέναντι τῶν ἁμαρτωλῶν, περιτειχισμένον ὄντα μετὰ κρυστάλλου καὶ χρυσίου καθαροῦ,

κοσιτέσσαρες πρεσβύτεροι ἔνθεν καὶ ἔνθεν καὶ πλῆθος ἀγγέλων βαστάζοντες κιθάρας, καὶ πλησίον παρθένοι πολλαὶ λευκοφόροι ἔχουν τὰς χεῖρας καὶ ὄμματα ἁπλωμένα εἰς τὸ ἀρνίον· κάτωθεν δ' αὐτῶν νεφέλαι καὶ ἐπ' αὐτῶν τρεῖς ἄγγελοι βλέποντες κάτω, καὶ ὁ εἷς βαστῶν εὐαγγέλιον λέγει· *φοβήθητε τὸν θεὸν καὶ δότε αὐτῷ δόξαν, ὅτι ἦλθεν ἡ ὥρα τῆς κρίσεως αὐτοῦ·* καὶ ἄλλος ἐκ δεξιῶν τοὺς δεικνύει μὲ τὴν μίαν κάτω καὶ μὲ τὴν ἄλλην (χεῖρά του) βαστᾷ χαρτὶ λέγων· *ἔπεσεν ἔπεσε Βαβυλὼν ἡ πόλις ἡ μεγάλη·* καὶ ἕτερος ἄγγελος ἐξ ἀριστερῶν αὐτοῦ ἔχων καὶ αὐτὸς τὴν μίαν χεῖρα ἁπλωμένην καὶ μὲ τὴν ἄλλην βαστᾷ, χαρτὶ λέγων. *Εἴ τις τῷ θηρίῳ προσκυνεῖ καὶ λαμβάνει τὸ χάραγμα ἐπὶ τοῦ μετώπου αὐτοῦ ἢ ἐπὶ τὴν χεῖρα αὐτοῦ, καὶ οὗτος πίεται ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τοῦ θεοῦ.* Κάτωθεν δ' αὐτῶν Βαβυλὼν ἡ πόλις ἡ μεγάλη χαλασμένη.

Καὶ εἶδον, καὶ ἰδοὺ νεφέλη λευκή, καὶ ἐπὶ τὴν νεφέλην καθήμενος ὅμοιος υἱῷ ἀνθρώπου, ἔχων ἐπὶ τῆς κεφαλῆς αὐτοῦ στέφανον χρυσοῦν, καὶ ἐν τῇ χειρὶ αὐτοῦ δρέπανον ὀξὺ κτλ. (1).

§ 339. Νέφη καὶ ἐπάνω αὐτῶν ὁ Χριστὸς φορῶν κορόναν καὶ εἰς τὴν χεῖρά του φέρει δρέπανον κοπτερὸν καὶ μεγάλον, καὶ θέτει αὐτὸ εἰς τὴν γῆν καὶ θερίζει· καὶ ἄγγελος πάλιν βαστῶν καὶ αὐτὸς δρέπανον κοπτερὸν καὶ κόπτει σταφύλια καὶ τὰ ῥίπτει μέσα εἰς τὸ ποτῆρι, καὶ εὐγαίνει αἷμα ἀντὶ οἴνου. Καὶ ἐπάνωθεν αὐτῶν οὐρανός, καὶ ἐπάνω τοῦ οὐρανοῦ ναός, καὶ ἐν αὐτῷ θυσιαστήριον, καὶ ἐκ τῶν θυρῶν τοῦ ναοῦ ἐξέρχεται εἷς ἄγγελος, καὶ βλέπων τὸν Χριστὸν ἁπλώνει τὴν μίαν χεῖρα πρὸς αὐτόν, καὶ μὲ τὴν ἄλλην βαστᾷ χαρτὶ λέγων· *Πέμψον τὸ δρέπανον τὸ ὀξὺ καὶ τρύγησον τοὺς βότρυας τῆς γῆς.*

Καὶ εἶδον ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ μέγα καὶ θαυμαστόν, ἀγγέλους ἑπτὰ ἔχοντας πληγὰς ἑπτὰ τὰς ἐσχάτας, ὅτι ἐν αὐταῖς ἐτελέσθη ὁ θυμὸς τοῦ Θεοῦ (2).

---

(1) Ἀποκάλ. κεφ. ιδ' 14.— (2) κεφ. ιέ 1.

§ 340. Βουνὰ καὶ ἄνθρωποι πολλοὶ ἄλλοι κείμενοι εἰς τὴν γῆν ἄλλοι λιποθυμημένοι καὶ πληγωμένοι βλέποντες ἄνω· καὶ ἐν μέσῳ αὐτῶν ὁ Ἀντίχριστος καθήμενος εἰς θρόνον, καὶ ἕνα θηρίον ἔχων πτερὰ καὶ φορῶν κορόναν, καὶ ἑπτακέφαλος δράκων· ἐκ τοῦ στόματος αὐτῶν εὐγαίνουν τρία πνεύματα ἀκάθαρτα ὅμοια βατράχοις· καὶ κάστρον χαλασμένον πλησίον, καὶ ἡ θάλασσα καὶ οἱ ποταμοὶ ὡς αἷμα καὶ ὁ Εὐφράτης ποταμὸς ὁ μέγας καταξηραμμένος, καὶ ἄνωθεν αὐτῶν οὐρανός, καὶ ὁ ἥλιος ἔχων μεγάλας ἀκτῖνας ἁπλωμένας εἰς τοὺς οὐρανούς, καὶ χάλαζα κατερχομένη ἐκ τοῦ οὐρανοῦ· καὶ ἐπάνωθεν τοῦ οὐρανοῦ ἡ σκηνὴ τοῦ Μαρτυρίου καὶ ἐξ αὐτῆς ἐξέρχονται ἑπτὰ ἄγγελοι λευκοφόροι, φοροῦντες ζώνας χρυσᾶς καὶ ὁ μὲν πρῶτος ἄγγελος χύνει τὴν φιάλην εἰς τὴν γῆν καὶ εἰς τοὺς οὐρανούς, ὁ δὲ δεύτερος εἰς τὴν θάλασσαν, ὁ τρίτος εἰς τοὺς ποταμούς, ὁ τέταρτος εἰς τὸν ἥλιον, ὁ πέμπτος εἰς τὸν θρόνον τοῦ Ἀντιχρίστου, ὁ ἕκτος εἰς τὸν Εὐφράτην ποταμόν, ὁ ἕβδομος εἰς τὸν ἀέρα.

Καὶ εἶδον γυναῖκα καθημένην ἐπὶ θηρίον κόκκινον, γέμον ὀνομάτων βλασφημίας, ἔχον κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα· καὶ ἡ γυνὴ ἡ περιβεβλημένη πορφύρᾳ κτλ. ἕως τὸ γέμον πορνείας (1).

§ 341. Ἑπτὰ κορυφαὶ βουνῶν καὶ ἐπ' αὐτῶν θηρίον ἑπτακέφαλον ἔχον κέρατα δέκα. Καὶ ἐπάνω αὐτοῦ γυνὴ καθημένη φοροῦσα κορῶναν τρίδιπλην καὶ χρυσοῦφαντα ἱμάτια καὶ κρατοῦσα εἰς τὴν δεξιάν της ποτήριον χρυσοῦν, προσφέρει αὐτὸ πρὸς τοὺς βασιλεῖς, καὶ δέκα βασιλεῖς ἔμπροσθεν τοῦ θηρίου βλέποντες πρὸς αὐτὴν καὶ ὄπισθεν τοῦ θηρίου οἱ ἄρχοντες μὲ τοὺς μεγιστάνας τῆς γῆς καὶ τὰ γράμματα. *Ἡ Βαβυλὼν ἡ μεγάλη τῶν πορνῶν καὶ τῶν βδελυγμάτων τῆς γῆς.*

Καὶ μετὰ ταῦτα εἶδον ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ ἔχοντα ἐξουσίαν μεγάλην· καὶ ἡ γῆ ἐφωτίσθη ἐκ τῆς δόξης αὐτοῦ· καὶ ἔκραξεν ἐν ἰσχύϊ, φωνῇ μεγάλῃ κτλ. (2).

---

(1) Ἀποκάλ. κεφ. ιζ' 3. — (2) κεφ. ιη' 1.

§ **342.** Γῆ καὶ ὄρη καὶ θάλασσα καὶ πόλεις καιόμεναι ὑπὸ πυρός, καὶ φλὸξ ἀναβαίνουσα εἰς τὸν ἀέρα, καὶ μακρόθεν ἵστανται βασιλεῖς, μεγιστᾶνες, καὶ πραγματευταὶ βλέποντες τὴν πόλιν καὶ θρηνοῦντες· ἄλλοι τραβοῦντες τὰς τρίχας τῆς κεφαλῆς των, κρούοντες τὰ στήθη τους, ἄλλοι ἔχοντες χεῖρας καὶ ὄμματα ἐκτεθειμένα ἄνω, καὶ ἄλλο πλῆθος ἄνθρωποι θαυμάζουν· καὶ ἐπάνωθεν οὐρανός, καὶ ἐξ αὐτοῦ εἷς ἄγγελος καταβαίνων μὲ ἄπειρον φῶς κύκλῳ αὐτοῦ, καὶ μὲ τὴν δεξιὰν δεικνύει τὴν Πόλιν, μὲ τὴν ἀριστερὰν βαστᾷ χαρτὶ λέγων, *ἔπεσεν ἔπεσε Βαβυλὼν ἡ Πόλις ἡ μεγάλη.* Καὶ ἕτερος ἄγγελος πλησίον αὐτοῦ ἐπὶ νεφελῶν ῥίπτει εἰς τὴν θάλασσαν λίθον ὡς μῦλον μέγαν, καὶ βαστάζει χαρτὶ λέγων, *οὕτως ὁρμήματι βληθήσεται Βαβυλὼν ἡ Πόλις ἡ μεγάλη, καὶ οὐ μὴ εὑρεθῇ ἔτι.* Καὶ ὑποκάτω τῶν ἀγγέλων ἄλλα σκοτεινὰ νέφη ῥίπτοντα χάλαζαν μὲ φωτίαν εἰς τὴν θάλασσαν καὶ εἰς τὴν γῆν· καὶ ἐπάνωθεν τοῦ οὐρανοῦ ὁ ἄναρχος πατὴρ καθήμενος εἰς θρόνον· καὶ πλησίον τοῦ θρόνου δύω ἄγγελοι βαστάζοντες χαρτία· ὁ εἷς ἐκ δεξιῶν λέγων· *Αἰνεῖτε τὸν θεὸν πάντες οἱ δοῦλοι αὐτοῦ·* καὶ ὁ ἕτερος ὁ ἐξ ἀριστερῶν λέγων· *Καὶ οἱ φοβούμενοι αὐτὸν μικροί τε καὶ μεγάλοι.* Καὶ κύκλῳ τοῦ θρόνου οἱ τετράμορφοι εὐαγγελισταί, καὶ τὰ τάγματα τῶν ἀγγέλων. Καὶ ἄλλος λαὸς πολὺς φοροῦντες στολὰς λευκάς, καὶ βαστοῦντες χαρτία λέγοντα *Ἀλληλούϊα, ἡ σωτηρία καὶ ἡ δόξα, καὶ ἡ τιμή, καὶ ἡ δύναμις Κυρίῳ τῷ Θεῷ ἡμῶν . . . . . ὅτι ἔκρινε τὴν πόρνην τὴν μεγάλην . . . . καὶ ἐξεδίκασε τὸ αἷμα τῶν δούλων αὐτοῦ ἐκ τῆς χειρὸς αὐτοῦ . . . Ἀλληλούϊα.*

Καὶ εἶδον τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ ἰδοὺ ἵππος λευκός· καὶ ὁ καθήμενος ἐπ' αὐτόν, καλούμενος πιστὸς καὶ ἀληθινός, καὶ ἐν δικαιοσύνῃ κρίνει καὶ πολεμεῖ . . . . καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ ὁ Λόγος τοῦ Θεοῦ κτλ. ἕως τό, ἵνα φάγητε σάρκας βασιλέων (1).

---

(1) Ἀποκάλ. κεφ. ιθ'. 11.

κατέναντι δὲ αὐτῶν ὁ Διόσκορος ἐν ἀρχιερατικῇ στολῇ σὺν Εὐτυχίῳ τῷ Κοδότῳ, συνδιαλεγόμενοι ἀλλήλοις· οὗτοι δὲ οἱ τελευταῖοι φέρουσιν ἐπὶ τοὺς ὤμους αὐτῶν δαίμονας ζοφεροὺς οἵτινες καὶ χαλινώνουσιν αὐτούς.

Ἡ ἁγία καὶ οἰκουμενικὴ Ε'. Σύνοδος γενομένη ἐν Κωνσταντινουπόλει, ἐπὶ Ἰουστιανοῦ τοῦ μεγάλου κατὰ τὸ ΦΝΓ': ἢ κατὰ τὸ χειρ. ΦΚΕ'. παρὰ τῶν ΡΝΒ'. πατέρων κατὰ Ὠριγένους.

§ 410. Ὀσπήτια καὶ ἄνωθεν τὸ ἅγιον πνεῦμα· ὁ δὲ βασιλεὺς καθήμενος ἐπὶ θρόνου· ἐξ ἑνὸς δὲ καὶ ἄλλου μέρους κάθηνται οἱ ἅγιοι Βιγίλιος πάπας Ῥώμης καὶ Εὐτύχιος Κωνσταντινουπόλεως, σὺν ἄλλοις ἀρχιερεῦσι καὶ πατράσι θεοφόροις κατὰ μέτωπον δὲ τῆς Συνόδου Ὠριγένης γέρων ὢν τὴν ἡλικίαν καὶ διχαλογένης, κρατῶν βιβλία· εἷς δὲ δαίμων ἐπὶ τῶν ὤμων Ὠριγένους καθήμενος κρατεῖ τοὺς ὀφθαλμοὺς αὐτοῦ.

Ἡ ἁγία καὶ οἰκουμενικὴ ϛ'. Σύνοδος ἡ ἐν Κωνσταντινουπόλει συγκροτηθεῖσα ἐπὶ Κωνσταντίνου τοῦ Πωγωνάτου κατὰ τὸ ΧΠ. ἢ τὸ ΧΥΣΤ'. κατὰ τὸ χειρ. παρὰ τῶν ΡΟ'. πατέρων κατὰ Ὀνορίου, Σεργίου καὶ Πύῤῥου.

§ 411. Ὀσπήτια καὶ τὸ ἅγιον πνεῦμα ἄνωθεν· ὁ δὲ βασιλεὺς μεσαιπόλιος διχαλογένης καθήμενος ἐπὶ θρόνου· ὄπισθεν δ' αὐτοῦ πλῆθος δορυφόρων· ἐξ ἑνὸς δὲ καὶ ἄλλου μέρους κάθηνται οἱ ἅγιοι Γεώργιος ὁ Κωνσταντινουπόλεως, οἱ τοποτηρηταὶ τοῦ πάπα Θεόδωρος καὶ Γεώργιος· συγκάθηνται δὲ τούτοις καὶ πλῆθος ἄλλων ἀρχιερέων καὶ πατέρων, οἱ δὲ αἱρετικοὶ συνδιαλέγονται τοῖς ἁγίοις.

Ἡ ἁγία καὶ οἰκουμενικὴ Ζ'. Σύνοδος ἡ ἐν Νικαίᾳ τῆς Βιθυνίας συγκροτηθεῖσα ἐπὶ Κωνσταντίνου καὶ Εἰρήνης, κατὰ τῶν εἰκονομάχων παρὰ τῶν ΤΛΖ'. πατέρων ἢ ΤΥ' κατὰ τὸ χειρόγρ.

§ 412. Ὀσπήτια καὶ ἄνωθεν τὸ ἅγιον πνεῦμα· ὁ βασιλεὺς Κωνσταντῖνος παῖς ἔτι ὢν συγκάθηται μετὰ τῆς μητρὸς αὐτοῦ

Εἰρήνης ἐπὶ θρόνου· φέροντες ὁ μὲν Κωνσταντῖνος τὴν εἰκόνα τοῦ Χριστοῦ, ἡ δὲ Εἰρήνη τὴν τῆς Θεοτόκου· ἑκατέρωθεν δὲ τῶν μερῶν αὐτῶν οἱ ἅγιοι Ταράσιος Κωνταντινουπόλεως, καὶ οἱ τοποτηρηταὶ τοῦ πάπα Πέτρος καὶ Παῦλος οἱ ἐπίσκοποι· σὺν τούτοις δὲ πλῆθος ἄλλων ἀρχιερέων καὶ πατέρων καθημένων ἐπὶ θρόνων καὶ φερόντων οἱ μὲν τὴν εἰκόνα τῆς ἁγίας τριάδος, οἱ δὲ τὴν τοῦ Χριστοῦ, οἱ δὲ τὴν τῆς Θεοτόκου, ἐν τῷ μέσῳ δ' αὐτῶν ὁ ἅγιος Καισαρίας γράφων. *Εἴ τις οὐ προσκυνεῖ τὰς ἁγίας εἰκόνας καὶ τὸν τίμιον Σταυρὸν ἀνάθεμα.*

Ἡ ἀναστήλωσις τῶν ἁγίων εἰκόνων.

§ **413.** Ναὸς καὶ ἔξωθεν τοῦ ναοῦ ὁ ἅγιος Μεθόδιος ὁ Πατριάρχης ἐν ἀρχιερατικῇ στολῇ φέρων πατερίτζαν· ὄπισθεν δὲ τούτου ἄλλοι ἀρχιερεῖς, φέροντες εἰκόνας· τούτων δὲ προπορεύονται δύο ἱεροδιάκονοι φέροντες τὴν εἰκόνα τοῦ Σωτῆρος Χριστοῦ· ἕτεροι δὲ δύο τῆς Παναγίας Θεοτόκου τὴν ἐπονομαζομένην Ἡ ΟΔΗΓΗΤΡΙΑ, πεποικιλμένην χρυσοϋφάντοις περιπετάσμασιν· ὄπισθεν δὲ τοῦ πατριάρχου ἡ βασίλισσα Θεοδώρα, καὶ ὁ βασιλεὺς Μιχαὴλ ὁ υἱὸς αὐτῆς, παιδάριον, φέροντες ἐν ταῖς χερσὶν εἰκόνας. Τούτων δὲ ὄπισθεν ἱερεῖς θυμιάμασι. καὶ κηρίοις καὶ λαμπάσι· σὺν τούτοις δὲ καὶ οἱ ὁσιώτατοι Ἀρσάκιος καὶ Ὡσαΐας, καὶ πλῆθος λαοῦ ἀνδρῶν καὶ γυναικῶν καὶ παιδίων σταυροφορούντων τε καὶ λαμπαδοφορούντων.



ΛΓ' ΥΠΟΘΕΣΕΙΣ ΕΚ ΤΗΣ ΠΑΛΑΙΑΣ ΚΑΙ ΤΩΝ ΣΥΝΑΞΑΡΙΩΝ.

Ὁ Ἄρχων Μιχαὴλ δεικνύων τῇ Ἄγαρ τὸ ὕδωρ.

§ **414.** Ὀσπήτιον, καὶ εἰς τὴν θύραν ὁ Ἀβραάμ, καὶ ἔμπροσθέν του ἡ Ἄγαρ φέρουσα ἐκ τῆς χειρὸς τὸν Ἰσμαήλ, παιδάριον τὴν ἡλικίαν· ἐπὶ δὲ τῶν ὤμων αὐτῆς ἀσκὸν ὕδατος καὶ κάλαθον ἄρτου· εἰς δὲ τοὺς πρόποδας τοῦ ὄρους ὁ Ἰσμαὴλ κείμενος ἐκτάδην ἐν

σκιᾷ δένδρου τινός· οὐ μακρὰν δὲ τοῦ δένδρου ἡ μήτηρ αὐτοῦ Ἄγαρ, καὶ ὁ Ἄρχων Μιχαὴλ πλησίον αὐτῆς ἐν νεφέλαις δεικνύων αὐτῇ τῷ δακτύλῳ αὐτοῦ πηγὴν ὕδατος.

Ὁ Μιχαὴλ κωλύει τὸν Ἀβραὰμ ἐκ τῆς σφαγῆς τοῦ Ἰσαάκ.

§ 415. Ὁ Ἀβραὰμ ἐπάνω εἰς βουνὸν κτλ. (ἴδε § 36).

Ὁ Μιχαὴλ φανεὶς τῷ Γεδεῶνι ἐνισχύει αὐτὸν κατὰ Μαδιάμ.

§ 416. Χωράφιον καὶ ἄνθρωποι θερίζοντες σῖτον, κτλ. (ἴδε § 68).

Ὁ Μιχαὴλ φανεὶς τῷ Μανωὲ εὐαγγελίζεται τὸν τόκον Σαμψών.

§ 417. Ὁ Μανωέ, γέρων φαλακρός, καὶ ἡ γυνὴ αὐτοῦ πλησίον (ἴδε § 70).

Ὁ Μιχαὴλ φανεὶς τῷ Δαυὶδ κατασφάζει 70 χιλιάδας λαῶν.

§ 418 Ἀλώνιον καὶ ἐν μέσῳ ὁ ἄγγελος κτλ. (ἴδε § 86).

Ὁ Μιχαὴλ ἀνεῖλεν ἐκ τῆς παρεμβολῆς Σεναχειείμ ΡΠΕ'. χιλιάδας.

§ 419 Κάστρον ἐπάνω εἰς βουνὸν κτλ. (ἴδε § 108).

Ὁ Μιχαὴλ συγκαταβὰς εἰς τοὺς τρεῖς παῖδας.

§ 420. Κάμινος καὶ οἱ τρεῖς παῖδες κτλ. (ἴδε § 116).

Ὁ Μιχαὴλ κομίζων τροφὴν τῷ Δανιὴλ διὰ τοῦ Ἀββακούμ.

§ 421. Ὁ Δανιὴλ μέσα εἰς λάκκον σκοτεινόν. (ἴδε § 122).

Ὁ Μιχαὴλ λυτρούμενος τὴν Κωνσταντινούπολιν ἐκ τῆς αἰχμαλωσίας τῶν Περσῶν.

§ 422. Κάστρον μεγάλον καὶ ὡραῖον καὶ ὑποκάτωθεν αὐτοῦ σκηναὶ καὶ πλῆθος στρατιωτῶν ἱππέων τε καὶ πεζῶν κατασφα-

ζομένων ἀναμεταξὺ αὐτῶν· τινὲς δὲ τούτων προσεγγίζουσι κλίμακας τοῖς τείχεσιν. Ὁ δὲ ἄρχων Μιχαὴλ ἐν μέσῳ νεφελῶν φέρων πύρινον σπάθην, ἐκχέει θάμβος καὶ φλόγας καὶ τοὺς Πέρσας κατακαίει.

Ὁ Μιχαὴλ λυτρούμενος τὸν ναὸν αὐτοῦ τὸν ἐν ταῖς Χώναις ἐκ τοῦ καταποντισμοῦ.

§ 423. Ναός, καὶ ἐν μέσῳ ὁ ὅσιος Ἄρχιππος γέρων ὀξυγένης προσευχόμενος, καὶ ὁ Μιχαὴλ ἔμπροσθεν αὐτοῦ ἱστάμενος, κρούει κονταρίῳ τὰ θεμέλια τοῦ ναοῦ κάτωθεν δὲ τοῦ κονταρίου πέτρα ἐσχισμένη, δι' ἧς εἰσέρχονται δύο ποταμοὶ ἐκ τῶν παρακειμένων βουνῶν· ἄνω δὲ τῶν βουνῶν πλῆθος λαοῦ, σκάπτοντες καὶ καθαρίζοντες τὸν δρόμον διὰ σκαπανῶν καὶ σκαλιστηρίων.

Ὁ Ἀρχάγγελος Μιχαὴλ καὶ Γαβριὴλ διασώζουσι τὸν παῖδα ἐκ τοῦ βυθοῦ τῆς θαλάσσης.

§ 424. Θάλασσα, καὶ ἐν τῷ μέσῳ αὐτῆς πλοιάριον ἀρμενίζον καὶ ἐν αὐτῷ τρεῖς μοναχοί, ἐξ ὧν ὁ εἷς πηδαλιουχεῖ· οἱ δὲ δύο ἄλλοι ῥίπτουσι τὸν παῖδα εἰς τὴν θάλασσαν κατὰ κεφαλῆς, ἔχοντες μέγαν λίθον εἰς τὸν τράχηλον τοῦ παιδὸς δεδεμένον· ἐξ ἑνὸς δὲ καὶ ἄλλου μέρους τοῦ παιδὸς οἱ ταξιάρχαι λαμβάνουσι τοῦτον· ἔξωθεν δὲ τῆς θαλάσσης Μοναστήριον, καὶ ἐν αὐτῷ ἐκκλησία καὶ ἐν τῇ ἐκκλησίᾳ ὁ παῖς κοιμώμενος, φέρων καὶ τὸν λίθον εἰς τὸν τράχηλον αὐτοῦ· ὁ δὲ Ἡγούμενος τοῦ μοναστηρίου ἱστάμενος πλησίον αὐτοῦ ἐγγίζει αὐτὸν τῇ ῥάβδῳ αὐτοῦ, τοῦ ἡγουμένου δὲ ὄπισθεν πλῆθος μοναχῶν ἀποροῦντες καὶ θαυμάζοντες.

Περὶ τοῦ πῶς δεῖ εἰκονίζειν τὸ «Ἄξιόν ἐστι»

§ 455. Θρόνος νεφελιφλεγέθων ἐπηρμένος· ἡ δὲ Θεοτόκος ἐνθρονισμένη ἐν αὐτῷ οὖσα φέρει ἐν ταῖς παναγίαις αὐτῆς ἀγκάλαις τὸν σωτῆρα τοῦ κόσμου, σκῆπτρον φέροντα ἐν ταῖς χερσὶ καὶ σταυρόν. Πέριξ δὲ τοῦ θρόνου τὰ τάγματα τῶν ἁγίων ἀγγέλων νεφέλαις περιβεβλημένα, ἵστανται σὺν τρόμῳ, τὰς χεῖρας ἐπὶ τοῦ

στήθους σταυροειδῶς ἔχοντα· ἔμπροσθεν δὲ τῆς Θεοτόκου οἱ δύο Ταξιάρχαι Μιχαὴλ καὶ Γαβριήλ, φωτὶ περιβεβλημένοι, τὸν ὕμνον ᾄδουσι τὸ *Ἄξιόν ἐστιν ὡς ἀληθῶς* κτλ· ἐξέρχεται δὲ ὁ ὕμνος οὗτος ἐκ τοῦ στόματος τοῦ Γαβριὴλ ὡς ταινία σμαραγδοφεγγής, καὶ φέρεται ἄνω τοῦ θρόνου κυματουμένη· λήγει δὲ ἐπὶ τοῦ στόματος τοῦ Μιχαὴλ τοῦ ἐκ δεξιῶν τῆς Θεοτόκου ἱσταμένου· καὶ πάλιν ἐκφέρεται δι' ἄλλης ταινίας ἐκ τοῦ στόματος τοῦ Μιχαὴλ καὶ λήγει ἐπὶ τοῦ στόματος τοῦ Γαβριήλ· ἕκαστον δὲ γράμμα τοῦ ὕμνου τούτου φέρεται ὑπὸ δύο ἀγγέλων ἀστραπομόρφων ἄνω τῆς κεφαλῆς αὐτῶν καὶ μεταξὺ τῶν δύο τῶν φερόντων τὸ γράμμα τρίτος ἄγγελος, ἔχων ἐν τῷ στόματι αὐτοῦ τὸ αὐτὸ γράμμα ἀκτινοφόρον τὸ ὑπὸ τῶν ἀγγέλων φερόμενον. Πρὸς τὰ κάτω δὲ τοῦ θρόνου ὄρος δενδρόφυτον καὶ πλῆρες ναῶν· καὶ ἐν τῷ μέσῳ τῶν μεγαλοπρεπεστάτων ναῶν ναΐσκος μικρός· καὶ ὁ μοναχὸς Ἀρσένιος, νέος ἀρχιγένειος, ἔκθαμβος τῆς Θεοτόκου ἐνώπιον ἱστάμενος παραλαμβάνει τὴν πλάκα ἐκ τῶν χειρῶν τοῦ ἀρχαγγέλου Γαβριὴλ ἀνερχομένου εἰς τοὺς οὐρανοὺς γεγραμμένην τῷ δακτύλῳ τῆς χειρὸς αὐτοῦ· ἔξωθεν δὲ τοῦ ναΐσκου ἡ πληθὺς τῶν μοναστῶν τοῦ Ἄθωνος, προπορευομένων τῶν Μητροπολιτῶν Ἁγίου Ῥόδου κυρίου Σαμουὴλ καὶ ἁγίου Κασανδρείας κυρίου Παρθενίου σὺν τοῖς ἱερεῦσι καὶ ἱεροδιακόνοις ἐν στολῇ ἱερᾷ· φέροντες ἐν ταῖς χερσίν, ὁ μὲν ἅγιος Ῥόδου, τὴν ἁγίαν εἰκόνα ὁ δὲ Κασανδρείας τὴν ἀγγελοχάρακτον πλάκα· οὐ πόρρω δὲ τούτων ἐν νεφέλαις οἱ ἐν τῷ ὄρει ἀσκήσαντες πάντες προπορευόμενοι τῆς εἰκόνος ἐν παρατάξει σὺν τοῖς ἁγίοις ἀγγέλοις· ὁ δὲ ναὸς τοῦ Πρωτάτου οὐ μακρὰν αὐτῶν δείκνυται, οὗ τὸ καταπέτασμα οἱ δώδεκα ἀπόστολοι κατέχουσι ταῖς χερσί, τὰ δὲ τείχη αὐτοῦ τὰ πλήθη τῶν μαρτύρων καὶ μοναστῶν· ἐν τῷ μέσῳ δὲ τοῦ κύκλου τῶν ἀποστόλων θυσιαστήριον ἐπὶ τῶν κεφαλῶν ἑπτὰ παρθένων λευκοφόρων καθιδρυμένων, τὰς συνόδους εἰκονιζόντων· ἐπὶ δὲ τοῦ θυσιαστηρίου ἡ εἰκὼν καὶ ἡ πλὰξ ἐν ψαλμοῖς καὶ ὕμνοις κατατίθεται· ἐκ δὲ τοῦ κύκλου τοῦ χοροῦ τῶν ἀποστόλων ἄγγελοι ἐξέρχονται μετὰ σαλ-

πίγγων καὶ ὅσιοι πολλοὶ ἐκ τοῦ αὐτοῦ χοροῦ ἀφαρπαζόμενοι εἰς τὸν ἀέρα, καὶ φερόμενοι ἀφ' ἑνὸς εἰς ἄλλο μέρος τοῦ κόσμου κηρύττουσι τὸ θαῦμα.

ΛΔ΄ ΥΠΟΘΕΣΕΙΣ ΕΚ ΤΗΣ ΝΕΑΣ ΔΙΑΘΗΚΗΣ.

ΤΑ ΘΑΥΜΑΤΑ ΤΟΥ ΠΡΟΔΡΟΜΟΥ.

Ὁ προφήτης Ζαχαρίας, εὐαγγελιζόμενος παρὰ τοῦ Ἀγγέλου τὴν σύλληψιν τοῦ Προδρόμου (1).

§ **426.** Ναὸς καὶ θυσιαστήριον καὶ ἔμπροσθεν τοῦ θυσιαστηρίου ὁ Ζαχαρίας ἱστάμενος φέρων ἐν τῇ δεξιᾷ θυμιατήριον· τὴν δὲ ἀριστερὰν ἐκτείνων πρὸς τὸ θυσιαστήριον ἔχει προσηλωμένους τοὺς ὀφθαλμοὺς αὐτοῦ πρὸς τὰ ἄνω· ἄνωθεν δὲ τοῦ θυσιαστηρίου ὁ Γαβριὴλ λέγων αὐτῷ *Μὴ φοβοῦ Ζαχαρία· εἰσηκούσθη ἡ δέησίς σου,* ἔξωθεν δὲ τοῦ ναοῦ πλῆθος Ἑβραίων ἄνδρες τε καὶ γυναῖκες προσευχόμενοι.

Ἡ γέννησις τοῦ Προδρόμου. (2).

§ **427.** Ὀσπήτιον καὶ ἡ Ἐλισάβετ κειμένη ἐπὶ κλίνης ἐσκεπασμένη ἐφαπλώμασι· ἔμπροσθεν δ' αὐτῆς κοράσιον ῥιπίζει αὐτὴν διὰ ῥιπιδίου, ἕτερα δὲ κοράσια ἐξέρχονται ἐκ τῶν θυρῶν τοῦ ὀσπητίου φέροντα ἐν ταῖς χερσὶ βρώματα διάφορα, ἃ καὶ κομίζουσι πρὸς τὴν Ἐλισάβετ. Πλησίον δὲ τῆς κλίνης ἕτερα κοράσια λούουσι τὸ βρέφος ἐντὸς λεκάνης· ὁ δὲ Ζαχαρίας καθήμενος γράφει ἐπὶ πίνακος, *Ἰωάννης τὸ ὄνομα αὐτοῦ.*

Ἡ Ἐλισάβετ λαβοῦσα τὸν Ἰωάννην φεύγει εἰς τὴν ἔρημον (3).

§ **428.** Βουνὰ καὶ ἡ Ἐλισάβετ λαβοῦσα τὸν Ἰωάννην εἰς τὰς ἀγκάλας αὐτῆς ὡς βρέφος φεύγει βλέπουσα πρὸς τὰ ὀπίσω· ἐμ-

(1) Λουκ. κεφ. ά. 5—25. — (2) Λουκ. κεφ. ά. 57. — (3) Ματθ. κεφ. β΄. 16.

προσθεν δ' αὐτῆς πέτρα μεγάλη ἐσχισμένη ἀπὸ ἄνωθεν ἕως κάτω· καὶ τὸ ἥμισυ τῆς Ἐλισάβετ ἐντὸς τοῦ χάσματος τῆς πέτρας ὄπισθεν δ' αὐτῆς στρατιώτης διώκει αὐτὴν ξιφήρης.

Ὁ Πρόδρομος κηρύττων εἰς τὴν περίχωρον τοῦ Ἰορδάνου βάπτισμα μετανοίας (1).

§ 429. Πλῆθος ἀνδρῶν καὶ γυναικῶν βαστάζοντες εἰς τοὺς ὤμους καὶ τὰς ἀγκάλας αὐτῶν τὰ ἴδια τέκνα· καὶ κατὰ μέσον τοῦ πλήθους ὁ Πρόδρομος λέγων ἐν ἐπιγραφῇ *Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.*

Ὁ Πρόδρομος διδάσκων τοὺς Ἰουδαίους καὶ Φαρισσαίους πλησίον τοῦ Ἰορδάνου. (2).

§ 430. Πλῆθος λαοῦ, μεταξὺ δὲ τοῦ λαοῦ Γραμματεῖς καὶ Φαρισσαῖοι, καὶ παρ' αὐτοῖς δένδρα βαθύσκια πάνυ, καὶ πρὸς τὴν ῥίζαν αὐτῶν ἀξίνη κειμένη· ἐν δὲ τῷ μέσῳ τοῦ λαοῦ ὁ Πρόδρομος δεικνύων διὰ τῆς μιᾶς χειρὸς τὴν ἀξίνην· εἰς δὲ τὴν ἄλλην φέρει ἐπιγραφὴν λέγουσαν· *Γεννήματα ἐχιδνῶν τίς ὑπέδειξεν κτ.λ.* Πλησίον δὲ τοῦ δένδρου, ὅπου κεῖται ἡ ἀξίνη αὕτη ἡ ἐπιγραφή· *Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται.*

Ὁ Πρόδρομος βαπτίζει τὸν λαόν (3).

§ 431. Πλῆθος ἀνδρῶν καὶ γυναικῶν καὶ παιδίων, τῶν μὲν ἐνδυομένων τῶν δὲ εἰσερχομένων ἐν τῷ Ἰορδάνῃ, ὁ δὲ Πρόδρομος βαπτίζων ἐκφέρει ταῦτα· *Ἐγὼ μὲν βαπτίζω ὑμᾶς ἐν ὕδατι εἰς μετάνοιαν· ὁ δὲ ὀπίσω μου ἐρχόμενος ἰσχυρότερός μού ἐστι*, μακρόθεν δὲ ὁ Χριστὸς ἐρχόμενος, ὃν καὶ δεικνύει τοῖς ἀνθρώποις ὁ Πρόδρομος αὐτοῦ διὰ τῆς χειρός.

---

(1) **Ματθ. κεφ γ'. 14. Μάρκ. κεφ. ά. 4. καὶ Λουκ. κεφ. γ'.** 3. — (2) **Ματθ. κεφ. γ'.** 5. **Μάρκ. κεφ. ά.** 4 **καὶ Λουκ. κεφ. γ'.** 7. — (3) **Ματθ. κεφ. γ'.** 5. **Μάρκ. κεφ. ά.** 17. **Ἰωάν. κεφ.** 22.

Ὁ Πρόδρομος ἐλέγχων τὸν Ἡρώδην περὶ Ἡρωδιάδος γυναικὸς Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ (¹).

§ 432. Παλάτιον, καὶ ἐν αὐτῷ ὁ βασιλεὺς Ἡρώδης, γέρων καθήμενος ἐπὶ θρόνου. Πλησίον δ' αὐτοῦ ἡ Ἡρωδιὰς συγκαθημένη τῷ Ἡρώδῃ· στρατιῶται δὲ κύκλῳ αὐτῶν· ὁ δὲ Πρόδρομος ἱστάμενος ἔμπροσθεν τοῦ Ἡρώδου δεικνύει αὐτῷ τὴν Ἡρωδιάδα λέγων· *Οὐκ ἔξεστί σοι ἔχειν αὐτήν*· δύο δὲ στρατιῶται κρατοῦσι τὸν Πρόδρομον.

Ὁ Πρόδρομος ἀγόμενος εἰς φυλακήν (²).

§ 433. Φυλακὴ σκοτεινή, καὶ ἔμπροσθεν πρὸς τὴν θύραν εἷς στρατιώτης φέρων τὸν Πρόδρομον δεμένον διὰ τῆς μιᾶς χειρός, διὰ τῆς ἄλλης δὲ ἀνοίγει τὰς θύρας τῆς φυλακῆς διὰ τῆς κλειδός· ὄπισθεν δὲ τοῦ Προδρόμου ἕτεραι στρατιῶται κρατοῦντες αὐτόν.

Ἡ ἀποτομὴ τοῦ Προδρόμου.

§ 434. Παλάτιον, καὶ ἐν αὐτῷ τράπεζα· ὁ δὲ Ἡρώδης καθήμενος ἐν τῷ μέσῳ αὐτῆς σὺν τοῖς ἄρχουσι καὶ μεγιστάσιν αὐτοῦ· δύο δὲ ὑπηρέται κομίζουσι τὰ βρώματα ἔκ τινος θυρίδος τοῦ παλατίου φαινόμενοι, ἃ καὶ παραδίδουσιν ἄλλοις ὑπηρέταις· τῆς τραπέζης δὲ ἔμπροσθεν κοράσιον ἐστολισμένον χορεύει· καὶ παρὰ τὴν τράπεζαν καμάρα, καὶ ἐν αὐτῇ ἡ Ἡρωδιὰς ἐν βασιλικῇ στολῇ· ἔμπροσθεν δ' αὐτῆς τὸ κοράσιον φέρον ἐπὶ πίνακος τὴν κεφαλὴν τοῦ Προδρόμου. Οὐ μακρόθεν δὲ τοῦ Παλατίου ἡ φυλακὴ ἔχουσα θυρίδα περιφραγμένην σιδήρῳ· ὁ δὲ Πρόδρομος κείμενος κατὰ γῆς ἀποκεφαλισμένος· ὁ δὲ δήμιος φέρει τὴν κεφαλὴν ἐν ταῖς χερσὶν αὐτοῦ, ἣν καὶ βάλλει μετ' ὀργῆς εἰς πινάκιον φερόμενον ὑπὸ τοῦ κορασίου· ἀπωτέρω δὲ τῆς φυλακῆς οἱ ἀπόστολοι Ἀνδρέας καὶ Ἰωάννης θάπτουσι τὸ σῶμα τοῦ Προδρόμου ἐν μνήματι.

(¹) Λουκ. κεφ. γ' 18. — (²) Ματθ. κεφ. γ' 12. Μάρκ. κεφ. α' 14. Λουκ. κεφ. γ' 16.

ΛΕ'. ΥΠΟΘΕΣΕΙΣ ΕΚ ΤΩΝ ΣΥΝΑΞΑΡΙΩΝ.

Ἡ πρώτη εὕρεσις τῆς κεφαλῆς τοῦ Προδρόμου.

§ 435. Ὀσπήτιον καὶ θύρα κατὰ μέτωπον αὐτοῦ· ἐντὸς δὲ τῆς θύρας κλίμαξ, φαινομένη ὀλίγον· κάτω δὲ τῆς κλίμακος μνημεῖον ἐσκεπασμένον καὶ ἐν αὐτῷ ἡ κεφαλὴ τοῦ Προδρόμου· εἷς δὲ μοναχὸς κρατῶν δίκελλαν σύρει τὸν λίθον ἐκ τοῦ τάφου· ἕτερος δὲ φέρων κιβώτιον· ὀλίγον δὲ μακρὰν τῆς σκηνῆς ταύτης οἱ αὐτοὶ μοναχοί, φέροντες ὁ μὲν εἰς τὸ φόρεμα αὐτοῦ ἐπὶ τῶν ὤμων κρεμάμενον ἐπὶ ῥάβδου· ὁ δὲ ἕτερος ἐγχειρίζει τὴν κεφαλὴν τοῦ Προδρόμου (ἐν κιβωτίῳ οὖσαν) τῷ κεραμεῖ· καὶ κατέναντι φρούριον καὶ αὕτη ἡ ἐπιγραφή· *Ὁ κεραμεὺς λαμβάνει τὴν κεφαλὴν τοῦ Προδρόμου ἐκ τῶν χειρῶν τῶν μοναχῶν.*

Ἡ δευτέρα εὕρεσις.

§ 436. Σπήλαιον, καὶ ἐν αὐτῷ στάμνος· ἐν αὐτῇ δὲ ἡ κεφαλὴ τοῦ Προδρόμου· ἄνωθεν δὲ τοῦ σπηλαίου κατερχόμεναι ἀκτῖνες φωτὸς ἐπὶ τῆς κεφαλῆς τοῦ Προδρόμου· εἷς δὲ ἱερεὺς φέρων λαμπάδα καὶ θυμιατὸν θυμιᾷ αὐτήν· τούτου δὲ ἔμπροσθεν ἕτερος μοναχὸς ὀλίγον κλιτός, δεικνύων τὴν κεφαλὴν διὰ τῆς δεξιᾶς, διὰ δὲ τῆς ἀριστερᾶς φέρει λαμπάδα· τοῦ σπηλαίου δὲ ὄπισθεν οἰκίσκος μικρός· καὶ ἀνωτέρω τούτου βουνὰ καὶ εἷς γέρων μοναχὸς μακρυγένης φεύγει διὰ μέσου τῶν βουνῶν καὶ εἰς τὰ ὀπίσω βλέπει ἔντρομος ὅλος· δύο δὲ λαϊκοὶ διώκουσιν αὐτὸν ξύλοις καὶ ῥοπάλοις· ἄνωθεν δ' αὐτῶν γράφων ταύτην τὴν ἐπιγραφὴν *Εὐστάθιος ὁ Ἀρειανὸς διωκόμενος παρὰ τῶν ὀρθοδόξων διὰ τὸ καπηλεύειν τὰ θαύματα τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου.*

Ἡ τρίτη εὕρεσις.

§ 437. Ναὸς καὶ ἐν μέσῳ αὐτοῦ ἡ τιμία κάρα ἐντὸς χρυσοῦ κιβωτίου· ἔμπροσθεν δ' αὐτῆς λαμπαδοστατῆρες ἔχοντες λαμπά-

δας ἀναμμένας· δύο δὲ διάκονοι ἐξ ἑνὸς καὶ ἐξ ἄλλου μέρους τοῦ κιβωτίου φέρουσι λαμπαδοστατῆρας χρυσοῦς τε καὶ ἀργυροῦς· εἷς δὲ ἀρχιερεὺς θυμιῶν αὐτὴν θυμιατηρίῳ. Πλησίον δ' αὐτῷ εἷς βασιλεὺς ἀρχιγένης ἱστάμενος μετ' εὐλαβείας, καὶ παρ' αὐτῷ ὁ ἔπαρχος αὐτοῦ σὺν λοιποῖς μεγιστᾶσιν· ἐξ ἄλλου δὲ μέρους ἱερεῖς καὶ ψάλται δύο φοροῦντες μακρυναῖς καὶ λευκαῖς σκούφιαις παίζουσι τὰ δάκτυλα· ἐν τῷ μέσῳ δὲ τούτων διάκονος κανοναρχεῖ· καὶ ἕτερος ψάλτης πρὸς τὸ μέρος τοῦ βασιλέως· πέριξ δὲ πλῆθος λαοῦ· ἐπὶ κεφαλῆς δὲ τῆς εἰκόνος ταύτης γράψε· *Ἡ τιμία κάρα τοῦ Προδρόμου προσκυνουμένη ὑπὸ τοῦ βασιλέως καὶ παντὸς τοῦ λαοῦ·*

ΛΣΤ'. ΥΠΟΘΕΣΕΙΣ ΕΚ ΤΩΝ ΠΡΑΞΕΩΝ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ.

ΤΑ ΘΑΥΜΑΤΑ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΕΤΡΟΥ.

Ὁ Πέτρος ἰώμενος τὸν ἐκ γενετῆς χωλόν. (1)

§ 438. Ναὸς καὶ πύλη μεγαλοπρεπὴς καὶ κλίμαξ παρ' αὐτῇ, ἐπὶ δὲ τῆς κλίμακος καὶ τῆς πύλης τοῦ Ναοῦ ἔμπροσθεν, ἄνθρωπος καθήμενος ἔχων τὴν κεφαλὴν αὐτοῦ τειλιγμένην μανδηλίῳ· ἐπὶ δὲ τῶν ὤμων αὐτοῦ φέρει πήραν· ἔχει δὲ τάς τε χεῖρας καὶ τὰ ὄμματα πρὸς τὸν Πέτρον· ὄπισθεν δὲ αὐτοῦ βακτηρίας ἱσταμένας πρὸς τὰ τείχη τοῦ Ναοῦ. Ὁ δὲ Πέτρος ἱστάμενος ἔμπροσθεν αὐτοῦ εὐλογεῖ αὐτὸν διὰ τῆς δεξιᾶς· ἐν δὲ τῇ ἀριστερᾷ φέρει χάρτην τειλιγμένον· τοῦ Πέτρου δὲ ὄπισθεν ὁ Θεολόγος Ἰωάννης νέος ἀγένειος.

Ὁ Πέτρος θεωρῶν τὸν Ἀνανέαν καὶ Σαπφείραν (2).

§ 439. Ὀσπήτια καὶ ἔμπροσθεν αὐτῶν ὁ Πέτρος ἱστάμενος ἔχων τὴν χεῖραν ἡπλωμένην· ἔμπροσθεν δ' αὐτῶν ἡ Σαπφείρα κει-

---

(1) Πράξ. τῶν Ἀποστ. κεφ. γ'. 1—7. (2) Πράξ. τῶν Ἀποστ. κεφ. ε.

μένη νεκρὰ καὶ οὐ μακρὰν αὐτῶν δύο ἄνθρωποι φέροντες νεκρὸν τὸν ἄνδρα τῆς Σαπφείρας Ἀνανίαν· τοῦ Πέτρου δὲ ὄπισθεν οἱ λοιποὶ Ἀπόστολοι καὶ ὄχλος πολύς.

Ὁ Πέτρος ἰώμενος τὸν παραλελυμένον Αἰνέαν (1).

§ 440. Ἀγορὰ ἀνδρῶν γέμουσα καὶ γυναικῶν καὶ παιδαρίων πάσης τάξεως· ὁ δὲ Πέτρος εἰσερχόμενος ἐν αὐτῇ κηρύττει τὴν εἰς Χριστὸν πίστιν· πλῆθος δὲ λαοῦ περὶ αὐτὸν ἵστανται θαυμάζοντες, ἐξ ὧν τινὲς κατασπάζονται τὰ κράσπεδα τῶν ἱματίων αὐτοῦ, τινὲς δὲ καὶ τὰς χεῖρας· ὁ δὲ παράλυτος παρὰ τῇ κλίνῃ τῇ ἑαυτοῦ ἱστάμενος εὐχαριστεῖ Πέτρον τὰς χεῖρας ὑψωμένας ἔχων.

Ὁ Πέτρος ἀνιστῶν τὴν Ταβηθάν (2).

§ 441. Ὀσπήτιον ὑψηλόν, καὶ ἐπάνω αὐτοῦ γυνὴ ἐπὶ κλίνης, ὁ δὲ Πέτρος διὰ μὲν τῆς ἀριστερᾶς ἐγείρει τὴν Ταβηθάν, διὰ δὲ τῆς δεξιᾶς εὐλογεῖ αὐτήν· πέριξ δὲ αὐτῶν γυναῖκες πάσης τάξεως καὶ ἡλικίας δεικνύουσαι τῷ Πέτρῳ χιτῶνας καὶ ἄλλα διάφορα ἱμάτια, ἃ φέρουσιν ἐν ταῖς χερσὶν αὐτῶν.

Ὁ Πέτρος βαπτίζων τὸν ἑκατόνταρχον Κορνήλιον καὶ τοὺς σὺν αὐτῷ (3).

§ 442. Ὕδωρ, καὶ ἐν αὐτῷ ὁ Κορνήλιος μεσαιπόλιος τὴν ἡλικίαν, μακρογένης τὸ γένειον καὶ γυμνὸς ἱματίων σὺν τοῖς αὐτῷ πέντε· ὁ δὲ Πέτρος ἔχων τὴν δεξιὰν ἐπὶ τῆς κεφαλῆς τοῦ Κορνηλίου βαπτίζει αὐτόν· φῶς δὲ πνεύματος κατέρχεται ἐπὶ τῆς κεφαλῆς τοῦ Κορνηλίου καὶ τοῖς σὺν αὐτῷ· τοῦ ὕδατος δὲ ἔξωθεν πλῆθος ἀνδρῶν καὶ γυναικῶν θαυμαζόντων.

Ὁ Πέτρος λυτροῦται ὑπὸ τοῦ ἀγγέλου ἐκ τῆς φυλακῆς τοῦ Ἡρώδου (4).

§ 443. Φυλακή, καὶ ἐν τῷ μέσῳ αὐτῆς ὁ Πέτρος καθήμενος μεταξὺ δύο στρατιωτῶν κοιμωμένων· ὑποδύεται τὰ σανδάλια αὐ-

(1) Πράξ. τῶν Ἀποστ. κεφ. θ'. 32. — (2) Πράξ. τῶν Ἀποστ. κεφ. θ'. 40. — (3) Πράξ. τῶν Ἀποστ. κεφ. ι. — (4) Πράξ τῶν Ἀποστ. ιβ'. 7.

τοῦ· ἄγγελος δὲ παρὰ τῷ Πέτρῳ ἑστηκὼς πατάττει τὴν πλευρὰν αὐτοῦ διὰ τῆς ῥάβδου.

Ὁ Πέτρος θανατόνει Σίμωνα τὸν μάγον ([1]).

§ 444. Ὀσπήτιον καὶ ναός· δύο δὲ δαίμονες ἀνερχόμενοι εἰς τὸν ἀέρα διώκουσι τὸ πνεῦμα Σίμωνος ἀνερχόμενον· ὁ δὲ Σίμὼν ὁ μέγας ἐκτάδην κείμενος ἐπὶ τῆς γῆς συντριμμένον τὸ κρανίον ἔχων θεωρεῖται θαυμαζόμενος ἀπὸ τοὺς περὶ αὐτόν, ὁ δὲ Πέτρος τὴν χεῖρα ἔχων ἡπλωμένην ἐπιτιμᾷ τοὺς δαίμονας.

Ὁ Ἀπόστολος Πέτρος ἀντιστρόφως σταυρωθεὶς τελειοῦται.

§ 445. Σταυρὸς ὑψωμένος· ὁ δὲ ἅγιος Πέτρος ἐσταυρωμένος ὢν τὴν κεφαλὴν κάτω καὶ τοὺς πόδας ἄνω ἀντιστρόφως ἀντιβάλλεται φωτί· κύκλῳ δὲ τοῦ σταυροῦ πλῆθος στρατιωτῶν· ἐξ ὧν τινὲς καρφόνουσι τοὺς πόδας οἱ δὲ τὰς χεῖρας.

ΤΑ ΘΑΥΜΑΤΑ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΑΥΛΟΥ.

Ὁ Παῦλος προσκαλούμενος ἐν τῇ ὁδῷ ὑπὸ τοῦ Κυρίου ([2]).

§ 446. Ὁ ἅγιος Παῦλος κείμενος πρηνὴς κατὰ γῆς ἔχει τὰς χεῖρας αὐτοῦ ἐπὶ τῶν ὀφθαλμῶν αὐτοῦ· ἄνωθεν δὲ οὐρανὸς ἐν ᾧ ὁ Χριστὸς καθήμενος ἐπὶ θρόνου πυρίνου, ὅλος περιβεβλημένος νεφέλας ἀστραπομόρφους φέρει ἐν μιᾷ τὸν σταυρόν, διὰ δὲ τῆς ἄλλης εὐλογεῖ τὸν Παῦλον, ἐξ ἧς φῶς διαδίδεται ἄπειρον εἰς τὰ πέριξ τῶν κεφαλῶν καὶ κατέρχεται ἐπὶ τῆς κεφαλῆς τοῦ Παύλου· ἐν τῷ μέσῳ δὲ τῶν ἀκτίνων ταῦτα τὰ γράμματα· *Σαοὺλ Σαοὺλ τί μὲ διώκεις*; Τοῦ Παύλου δὲ πλησίον ἄνδρες τέσσαρες Αἰγυπτιαστ ἐνδεδυμένοι μένουσιν ἔκθαμβοι.

Ὁ Παῦλος βαπτιζόμενος ὑπὸ τοῦ Ἀνανίου ([3]).

§ 447. Ὁ Παῦλος γυμνὸς ἑστὼς ἐντὸς τοῦ ὕδατος· ὁ δὲ Ἀνανίας

([1]) Πράξ τῶν Ἀποστ. κεφ. ή. 20. — ([2]) Πράξ. τῶν Ἀποστ. κεφ. θ'. 3. — ([3]) Πράξ. τῶν Ἀποστ. κεφ. θ'. 18.

ἔχων τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν τοῦ Παύλου βαπτίζει αὐτὸν ἐκ δὲ τῶν ὀφθαλμῶν τοῦ Παύλου ἐκπίπτουσι λέπια ὅμοια τῶν ὀψαρίων.

Ὁ Παῦλος ἐκτυφλῶν τὸν Βαρισοῦν τὸν μάγον (¹).

§ 448. Ἄρχων ἐπὶ θρόνου καθήμενος φέρων διάδημα ἐπὶ κεφαλῆς· ἔμπροσθεν δὲ αὐτοῦ ὁ μάγος Βαριησοῦς ἔχων τὰς χεῖρας αὐτοῦ ἐπὶ τῶν ὀφθαλμῶν αὐτοῦ. Ἀπέναντι δὲ αὐτοῦ ὁ Παῦλος ἐκτείνων τὴν χεῖρα αὐτοῦ κατὰ πρόσωπον τοῦ μάγου· ὁ δὲ Βαρνάβας τοῦ Παύλου ὄπισθεν· σὺν αὐτῷ δὲ καὶ πλῆθος ἀνδρῶν καὶ γυναικῶν κύκλῳ τοῦ Παύλου θαυμαζόντων.

Ὁ Παῦλος ἰώμενος ἐν Λύστροις τὸν ἐκ κοιλίας μητρὸς χωλόν (²).

§ 449. Οἰκήματα μεγαλοπρεπῆ καὶ τῶν οἰκημάτων ἔξωθεν ἐπὶ κλίνης ἀνὴρ πωγονοφόρος ἐγειρόμενος· ὁ δὲ Παῦλος πλησίον αὐτοῦ ἀτενίζων πρὸς αὐτὸν καὶ εὐλογῶν τὸν ἐγειρόμενον· πέριξ δὲ καὶ τῶν δύο πλῆθος λαοῦ θαυμάζοντος καὶ δοξάζοντος.

Ὁ Παῦλος ἐν φυλακῇ (³).

§ 450. Δεσμωτήριον πεπαλαιωμένον φυτῶν γέμον ἀγρίων ἐπὶ τοῖς τοίχοις αὐτοῦ ἑτοιμόρροπον· αἱ δὲ πύλαι τοῦ δεσμωτηρίου ἀνεωγμέναι καθὼς καὶ αἱ θυρίδες· τὸ δὲ μέτωπον ἐρριμμένον τὸ ἥμισυ χαμαί· ἐν τῷ μέσῳ δὲ τοῦ δεσμωτηρίου ὅ,τε Παῦλος καὶ Σίλας καθήμενοι ἐν μέσῳ ἀκτίνων φωτὸς καὶ ἄγγελος πυρὸς ἱστάμενος ἔμπροσθεν αὐτῶν ὡς διακονοῦντες ἐμπνέουσι τρόμον τοῖς δεσμοφύλαξιν· ὁ δὲ ἀρχιδεσμοφύλαξ πρηνὴς ὢν κατὰ πρόσωπον τῶν ἀποστόλων καταφιλεῖ τοὺς πόδας αὐτῶν· οἱ δὲ εὐλογοῦσιν αὐτόν· τινὲς δὲ τῶν δεσμοφυλάκων οὐ μακρὰν αὐτῶν ἱσταμένων ὡς διωκόμενοι μετ' ἐκπλήξεως ἅμα καὶ φόβου.

(¹) Πράξ. τῶν Ἀποστ. κεφ. ιγ'. 17. — (²) Πράξ. τῶν Ἀποστ. κεφ. ιδ'. 8. — (³) Πράξ. τῶν Ἀποστ. κεφ. ιϛ'. 23.

Ὁ Παῦλος ἀποτινάξας ἐν μέσῳ τοῦ πυρὸς τὴν δήξασαν αὐτῷ ἔχιδναν φέρει θαυμασμὸν τοῖς περιεστῶσιν (¹).

§ 451. Πυρὰ μεγάλη καὶ ἄνθρωποι θερμαινόμενοι πάσης τάξεως καὶ ἡλικίας ὁ δὲ Παῦλος βάλλων δέσμην φρυγάνων καὶ τζάκνων εἰς τὴν πυρὰν δάκνει αὐτοῦ τὴν χεῖρα ἔχιδνα τρομερὰ ἐκ τῶν φρυγάνων ἐξερχομένη· ὁ δὲ Παῦλος ἀτάραχον χαρακτῆρα φέρων ὅλως καὶ τὴν χεῖρα τὴν δηχθεῖσαν, ὡς ἀποτινάσσουσαν ἔχων, καὶ τὸ θηρίον ὡς νεκρωμένον φαινόμενον τρόμον καὶ θαυμασμὸν συνάμα ἐμπνέει τοῖς συνοδοιπόροις στρατιώταις καὶ τοῖς ἄλλοις· πλησίον δὲ τοῦ Παύλου ὁ ἀπόστολος καὶ εὐαγγελιστὴς Λουκᾶς καθήμενος θαυμάζει καὶ οὗτος σὺν τοῖς ἄλλοις.

Ὁ ἅγιος Παῦλος διὰ ξίφους τελειοῦται.

§ 452. Ὁ Παῦλος γονατιστός, ἔχων τοὺς ὀφθαλμοὺς δεμένους μανδηλίῳ λευκῷ· πλησίον δὲ τῷ Παύλῳ ὁ δήμιος φέρων ξίφος ἐν τῇ χειρί· τούτων δὲ πέριξ στρατιωτῶν πλῆθος· ὀλίγον δὲ μακρὰν τοῦ Παύλου γυνὴ μονόφθαλμος βλέπουσα καὶ δακρύουσα τὸν θάνατον τοῦ πρωτοκορυφαίου Παύλου.

ΛΖʹ. ΥΠΟΘΕΣΕΙΣ ΕΚ ΤΟΥ ΜΑΡΤΥΡΟΛΟΓΙΟΥ ΚΑΙ ΑΛΛΩΝ ΓΡΑΦΩΝ.

ΤΑ ΘΑΥΜΑΤΑ ΤΟΥ ΑΓΙΟΥ ΝΙΚΟΛΑΟΥ

Ὁ ἅγιος ῥίπτων τὰ ἀργύρια ἐν τῷ οἴκῳ.

§ 453. Οἴκημα ὑψηλόν, καὶ ἐν αὐτῷ ἀνὴρ κοιμώμενος· τούτου δὲ οὐ μακρὰν αἱ τρεῖς αὐτοῦ θυγατέρες Μελπομένη, Εὐδοχία, καὶ Σωφρονία· ὁ δὲ ἅγιος Νικόλαος νέος τὴν ἡλικίαν ὤν, τοῦ οἰκήματος κάτωθεν ἱστάμενος, φέρει ὀθόνης δέμα χρημάτων γέμουσαν, ἣν καὶ ῥίπτει ἐντὸς τοῦ οἰκήματος ἐκ τῆς θυρίδος.

(¹) Πράξ. τῶν Ἀποστ. κεφ. κή. 3.

Ὁ ἅγιος Νικόλαος χειροτονούμενος διάκονος.

§ 454. Ναὸς καὶ ἱερὸν καὶ τράπεζα· ὁ δὲ ἅγιος Νικόλαος νέος στρογγυλογένης ἵσταται κλιτὸς ἔμπροσθεν τῆς ἁγίας τραπέζης· εἷς δὲ ἀρχιερεὺς γέρων τὴν ἡλικίαν μακρυγένης ἔχει τὴν χεῖρα καὶ τὸ ὑπογονάτιον καὶ τὴν ἄκραν τοῦ ὠμοφορίου αὐτοῦ ἐπὶ τῆς κεφαλῆς τοῦ ἁγίου· τὸ δὲ ἅγιον πνεῦμα κατέρχεται κατὰ κεφαλῆς τοῦ ἁγίου φῶς ἐκπέμπον ἐν τῷ ἱερῷ· ἑκατέρωθεν τῶν μερῶν αὐτοῦ δύο διάκονοι φέροντες τρικέρια· ἔξωθεν δὲ τοῦ ἱεροῦ λαμπαδοστατῆρες πολυέλαιοι κτλ· φῶς ἐκπέμποντες καὶ πλῆθος λαοῦ καὶ ἱερέων, τοῦ ἱεροῦ κατέναντι.

Ὁ ἅγιος ἀνιστῶν τὸν ναύτην ἐν τῷ πλοίῳ.

§ 455. Θάλασσα καὶ ἐν αὐτῇ πλοῖον· ὁ δὲ ἅγιος ἐντὸς τοῦ πλοίου ὢν προσεύχεται· ὁ δὲ νεκρὸς ναύτης ἔμπροσθέν του κείμενος ὕπτιος τὸ δὲ λοιπὸν πλήρωμα τῶν ναυτῶν πέριξ ὄντες μένουσιν ἔκθαμβοι.

Ὁ ἅγιος χειροτονούμενος ἀρχιερεύς.

§ 456. Ὁμοίως ὡς ἄνωθεν 454· ἐν τῇ χειροτονίᾳ ὅμως ταύτῃ τρεῖς ἀντὶ ἑνὸς ἀρχιερεῖς συλλειτουργοῦσιν.

Ὁ ἅγιος ἐν τῇ φυλακῇ ὢν λαμβάνει τὸ εὐαγγέλιον ἐκ τῶν χειρῶν τοῦ Σωτῆρος, τὸ δὲ ὠμοφόριον ἐκ τῶν τῆς Θεοτόκου.

§ 457. Φυλακὴ καὶ ἐντὸς αὐτῆς ὁ ἅγιος· ὁ δὲ Ἰησοῦς Χριστὸς ἐκ δεξιῶν αὐτοῦ ἐγχειρίζει τῷ ἁγίῳ τὸ εὐαγγέλιον ἡ δὲ Θεοτόκος ἐξ ἀριστερῶν οὖσα ἐγχειρίζει τὸ ὠμοφόριον· φῶς δὲ πολὺ τὴν φυλακὴν καταφωτίζει.

Ὁ ἅγιος ἐλευθερῶν τοὺς ἀθώους ἐκ τοῦ θανάτου.

§ 458. Φρούριον· τοῦ φρουρίου δὲ ἔξωθεν βουνά, καὶ τρεῖς ἄνθρωποι κατάδικοι γονατιστοί, ἔχοντες δεμένους τοὺς ὀφθαλμοὺς αὐτῶν ὀθονίοις· τὰς δὲ χεῖρας ὄπισθεν δεμένας καὶ ταύτας· ὁ δὲ

δήμιος παρ' αὐτοῖς ἱστάμενος προσεγγίζει τὴν μάχαιραν τοῖς ἁγίοις· ὁ ἅγιος τοῦ δημίου ὄπισθεν ἱστάμενος ἁρπάζει τὸν δήμιον ἐκ τῆς ὀσφύος πλήρης θυμοῦ· πλησίον δὲ τοῦ ἁγίου τρεῖς ἄνδρες, ἕτεροι φέροντες τιάρας ἐπὶ κεφαλῆς, καὶ ἐνδεδυμένοι μηλωτάς, ἵστανται ἐκστατικοί· ὁ δὲ ἡγεμὼν Εὐστάθιος πίπτει κατὰ τοῦ ἁγίου· παρ' αὐτῷ δὲ ἵππος χρυσοχαλινωμένος.

Ὁ ἅγιος ὀφθεὶς κατ' ὄναρ τῷ βασιλεῖ Κωνσταντίνῳ καὶ τῷ Ἀβλαβίῳ ἐλευθεροῖ τοὺς στρατηλάτας.

§ 459. Παλάτιον, ὁ μέγας Κωνσταντῖνος κοιμώμενος ἐπὶ κλίνης χρυσῆς σκεπασμένος μέχρι στήθους ἐφαπλώμασι χρυσοϋφάντοις· ὁ δὲ ἅγιος ἄνωθεν τῆς κεφαλῆς τοῦ Κωνσταντίνου ἱστάμενος φοβερίζει αὐτόν· τούτου δὲ οὐ μακρὰν ἕτερον παλάτιον καὶ ὁ Ἀβλάβιος κοιμώμενος, ἐπὶ δὲ τῆς κεφαλῆς αὐτοῦ ὁ ἅγιος Νικόλαος φοβερίζει αὐτὸν ὡς καὶ τὸν Κωνσταντῖνον.

Ἡ κοίμησις τοῦ ἁγίου.

§ 460. Ὁ ἅγιος ἐπὶ κλίνης κείμενος νεκρὸς ἀρχιερατικὴν στολὴν ἐνδεδυμένος· κύκλῳ δὲ τοῦ νεκροῦ ἀρχιερεῖς φέροντες ἐν ταῖς χερσὶν εὐαγγέλια ἀνεῳγμένα· εἷς δὲ τῶν ἀρχιερέων κατασπάζεται δακρύων τὸν νεκρὸν τοῦ ἁγίου. Οἱ ἱεροδιάκονοι δὲ φέροντες λαμπάδα καὶ θυμιατὰ θυμιῶσι· ἄλλοι δὲ χανοναρχοῦσι· πλῆθος δὲ λαοῦ πάσης τάξεως καὶ ἡλικίας καὶ μοναχῶν περικυκλοῦσι τὸν νεκρόν· εἷς δὲ τῶν μοναχῶν ἐνδεδυμένος μανδύαν κρούει σήμαντρον.

ΤΑ ΘΑΥΜΑΤΑ ΤΟΥ ΑΓΙΟΥ ΓΕΩΡΓΙΟΥ.

Ὁ ἅγιος παρουσιαζόμενος εἰς τὸν Διοκλητιανόν.

§ 461. Παλάτιον, ὁ δὲ βασιλεὺς Διοκλητιανὸς καθήμενος ἐπὶ θρόνου· πλησίον δ' αὐτοῦ ἐπὶ θρόνου ἑτέρου ὁ ἐπίτροπος αὐτοῦ Μαγνέντιος· ὄπισθεν δὲ τοῦ βασιλέως στρατιῶται δορυφόροι· καὶ πρὸς τὰ δεξιὰ τοῦ βασιλέως ἄρχοντες μεγιστάνες καὶ στρατηλά-

ται· ὁ δὲ ἅγιος ἱστάμενος ἔμπροσθεν τοῦ βασιλέως ἐκτείνει τὴν χεῖρα αὐτοῦ πρὸς τὸν βασιλέα· τούτου δὲ πλησίον δύο στρατιῶται ὠθοῦσι τὸν ἅγιον διὰ κονταρίων.

Ὁ ἅγιος βαλλόμενος εἰς τὴν φυλακήν.

§ 462. Φυλακή, καὶ ἐν αὐτῇ ὁ ἅγιος κείμενος ὕπτιος, ἔχων τοὺς πόδας αὐτοῦ κλεισμένους εἰς ξύλον· εἷς δὲ στρατιώτης κλείει τὸ ξύλον διὰ κλειδαρίας· ἕτεροι δὲ στρατιῶται θέτουσιν ἐπὶ τῶν ποδῶν λίθον μέγαν.

Ὁ ἅγιος βαλλόμενος ἐν τῷ τροχῷ.

§ 463. Ξύλον τετράγωνον ἔχον ξυράφια ἐμπεπηγμένα καὶ ἄνωθεν αὐτοῦ ὁ τροχός, ὁ δὲ ἅγιος ἐπ' αὐτοῦ κεῖται δεμένος χεῖρας καὶ πόδας· δύο δὲ δήμιοι περιστρέφουσι τὸν τροχὸν διὰ σχοινίων· ὁ δὲ βασιλεὺς καθήμενος ἐπὶ θρόνου κατέναντι τοῦ πάσχοντος ἁγίου εὐχαριστεῖται εἰς τὰ κατὰ τοῦ ἁγίου πραττόμενα· πλησίον δὲ τοῦ βασιλέως ὁ Μαγνέντιος ἱστάμενος δεικνύει τῷ βασιλεῖ τὸν ἅγιον γελῶν· ἄνωθεν δὲ τοῦ τροχοῦ ἄγγελος ἐν νεφέλαις περιβεβλημένος πλησίον τοῦ ἁγίου ὢν λύει αὐτόν· ἔξωθεν δὲ τοῦ φρουρίου δύο ἄρχοντες καὶ στρατιωτῶν πλῆθος ἀποκεφαλιζόμενοι ὑπὸ τῶν δημίων.

Ὁ ἅγιος ὑποδυόμενος τὰ πεπυρωμένα ὑποδήματα.

§ 464. Ὁ ἅγιος καθήμενος φέρων πέδας ἐν ταῖς χερσίν· εἷς δὲ στρατιώτης ὑψόνει τὸν πόδα τοῦ ἁγίου καὶ ὄπισθεν πυρὰ μεγάλη καὶ ἐν αὐτῇ τὰ ὑποδήματα καιόμενα· στρατιώτης δὲ ἕτερος πλησιάζει διὰ πυράγρας ὑπόδημα προσεγγίζει τὸν πόδα τοῦ ἁγίου, ἐξ οὗ ἐξέρχεται ἀτμὸς οὐκ ὀλίγος.

Ὁ ἅγιος ποτιζόμενος τὰ δηλητήρια φάρμακα.

§ 465. Ὁ βασιλεὺς καθήμενος ἐπὶ θρόνου καθὼς καὶ ὁ Μαγνέντιος ἔχοντες καὶ οἱ δύο τὰς χεῖρας αὐτῶν ἡπλωμένας πρὸς τὸν ἅγιον· ὁ δὲ ἅγιος ἱστάμενος τοῖς τυράννοις ἔμπροσθεν προσεγ-

γίζει τοῖς χείλεσιν αὐτοῦ τὸ ποτήριον τῶν φαρμάκων· ὁ δὲ μάγος Ἀθανάσιος ἱστάμενος ἔμπροσθεν τοῦ ἁγίου φέρει, εἰς μὲν τὴν ἀριστερὰν ἕτερον ἀγγεῖον φαρμάκων, διὰ δὲ τῆς δεξιᾶς δεικνύει αὐτὸ τῷ βασιλεῖ δακτυλοειδῶς· πέριξ δὲ στρατιωτῶν πλῆθος.

Ὁ ἅγιος ἀνιστῶν τὸν νεκρόν.

§ 466. Ὁ βασιλεὺς καθήμενος ἐπὶ θρόνου, ὁμοίως καὶ ὁ Μαγέντιος· ὁ δὲ μάγος Ἀθανάσιος πλησίον αὐτοῖς θαυμάζων· ὁ δὲ ἅγιος ἐν τῷ μέσῳ αὐτῶν ἵσταται, ὡς πλησιάζων τοῖς τυράννοις· τοῦ ἁγίου δὲ πρὸς τὰ δεξιὰ τάφος ἀνεῳγμένος, καὶ ἐν αὐτῷ νεκρὸς ἐγειρόμενος· τοῦ τάφου δὲ πέριξ λαὸς θαυμάζων· οὐ μακρὰν δὲ τούτοις, ὅτε ἀναστηθεὶς νεκρὸς καὶ Ἀθανάσιος ἀποκεφαλιζομένοι παρὰ τῶν δημίων.

Ὁ ἅγιος ἀνιστῶν τὸν βοῦν τοῦ γεωργοῦ.

§ 467. Ὁ ἅγιος καθήμενος ἐν τῇ φυλακῇ παρὰ τὴν θυρίδα αὐτῆς· τῆς φυλακῆς δὲ ἔξωθεν ὁ βοῦς τοῦ γεωργοῦ ἐγειρόμενος· καὶ τοῦ ἁγίου ἐνώπιον ὁ γεωργὸς Γλυκέριος προσκυνῶν τὸν ἅγιον ἔχων τὰς χεῖρας ἁπλωμένας πρὸς τὸν ἅγιον καὶ τὰ ὄμματα προσηλωμένα.

Ἡ ἀποτομὴ τοῦ ἁγίου Γεωργίου.

§ 468. Ὁ ἅγιος γονατιστός, καὶ ὁ δήμιος παρ' αὐτῷ ξιφήρης· οὐ μακρὰν δὲ τοῦ ἁγίου ἡ βασίλισσα Ἀλεξάνδρα ἐπὶ πέτρας κειμένη νεκρά, ἄγγελος δὲ ἱπτάμενος φέρει τὴν ψυχὴν αὐτῆς ἀναβαίνων εἰς τοὺς οὐρανούς.

ΤΑ ΘΑΥΜΑΤΑ ΤΗΣ ΑΓΙΑΣ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΑΙΚΑΤΕΡΙΝΗΣ.

Ἡ ἁγία διδασκομένη ὑπὸ τοῦ πνευματικοῦ.

§ 469. Σπήλαιον, καὶ ἐν αὐτῷ εἷς μοναχὸς πνευματικὸς καθήμενος ἐπὶ σκήμποδος· ὅστις ἔχει τὰς χεῖρας αὐτοῦ πρὸς τὴν

ἁγίαν· ἡ δὲ ἁγία ἵσταται ἔμπροσθέν του θαυμάζουσα· πλησίον δὲ τῆς ἁγίας ἡ μήτηρ αὐτῆς.

Ἡ ἁγία Αἰκατερίνη, ὡς ἔτι ἀβάπτιστος οὖσα, ἀποστρέφεται ὑπὸ τοῦ Κυρίου.

§ 470. Ὀσπήτιον, καὶ ἡ ἁγία ἐν αὐτῷ ἱσταμένη ἱκετικῶς· ἔμπροσθεν δ' αὐτῆς ἡ Θεοτόκος ἱσταμένη φέρουσα ἐν ταῖς ἀγκάλαις αὐτῆς, ὡς βρέφος, τὸν Κύριον, ὅστις στρέφει τὸ πρόσωπον αὐτοῦ ἀπὸ τὴν Αἰκατερίνην, ὡς ἀποστρεφόμενος αὐτήν, καθ' ὃ ἀβάπτιστος ἔτι οὖσα αὐτή.

Ἡ ἁγία βαπτιζομένη ὑπὸ τοῦ πνευματικοῦ.

§ 471. Σπήλαιον, καὶ ἐν αὐτῷ ὁ πνευματικὸς αὐτῆς βαπτίζων αὐτὴν εἰς τὴν εἰς Χριστὸν πίστιν· ἡ δὲ μήτηρ τῆς ἁγίας πλησίον αὐτῆς οὖσα φέρει λαμπάδα ἀναμμένην.

Ἡ ἁγία λαμβάνει ἀραβῶνα ὑπὸ τοῦ Κυρίου.

§ 472. Ὀσπήτιον, καὶ ἐν αὐτῷ ἡ ἁγία ἱσταμένη, ἔχουσα ἁπλωμένην τὴν δεξιὰν αὐτῆς, ἡ δὲ Παναγία ἔμπροσθεν αὐτῆς ἱσταμένη φέρει, διὰ μὲν τῆς μιᾶς τὸν Κύριον ὡς βρέφος, διὰ δὲ τῆς ἄλλης κρατεῖ τὴν δεξιὰν τῆς ἁγίας· ὁ δὲ Κύριος, διὰ μὲν τῆς μιᾶς βάλλει δακτύλιον εἰς τὸν μικρὸν δάκτυλον τῆς δεξιᾶς χειρὸς τῆς ἁγίας· διὰ δὲ τῆς ἄλλης φέρει ταύτην τὴν ἐπιγραφήν. *Ἰδοὺ σήμερον λαμβάνω σε διὰ νύμφην μου ἄφθαρτον.*

Ἡ ἁγία παῤῥησιαζομένη τοῦ βασιλέως ἐνώπιον.

§ 473. Ναός, καὶ ἐν αὐτῷ εἴδωλα· τῶν εἰδώλων δὲ ἐνώπιον θυσιαστήρια καὶ ἐπ' αὐτοῖς ζῶα καιόμενα, καὶ πλῆθος ἀνθρώπων κύκλῳ τῶν θυσιαστηρίων σύροντες, οἱ μὲν βόας, οἱ δὲ πρόβατα διὰ σχοινίων· τινὲς δὲ τούτων κρούουν διάφορα μουσικὰ ὄργανα τινὲς δὲ θυσιάζουν· ὁ δὲ βασιλεὺς καθήμενος ἐπὶ θρόνου ἐλέγχεται ὑπὸ τῆς ἁγίας, περὶ δὲ τὸν βασιλέα δορυφόρων πλῆθος.

Ἡ ἁγία διαλεγομένη σὺν τοῖς πεντήκοντα ῥήτορσι.

§ 474. Παλάτιον, καὶ ἐν αὐτῷ ὁ βασιλεὺς καθήμενος ἐπὶ θρόνου, καὶ οἱ πεντήκοντα ῥήτορες καθήμενοι ἔνθεν καὶ ἔνθεν τῆς ἁγίας, διάφοροι τὴν ἡλικίαν ὄντες, καθὼς καὶ τὰ φορέματα καὶ τὰ καλύμματα· εἷς δὲ τῶν ῥητόρων ὁ γηραλαιότερος παρὰ τῷ βασιλεῖ ἑστηκὼς καὶ κατέναντι τῆς ἁγίας συνδιαλεγόμενος μετ' αὐτῆς δεικνύει αὐτὴν τοῖς ἄλλοις ῥήτορσιν· οἱ δὲ θεωροῦντες αὐτὴν θαυμάζουσι καὶ τὰς γενειάδας αὐτῶν κρατοῦσι καὶ δάκνουσι.

Ἡ ἁγία βαλλομένη εἰς τοὺς τροχούς.

§ 475. Τέσσαρες τροχοὶ εἰς μίαν καὶ τὴν αὐτὴν περόνην περασμένοι, πέριξ δὲ τῶν τροχῶν ξυράφια· καὶ ἡ ἁγία ὑποκάτωθεν αὐτῶν ἐξαπλωμένη κατὰ γῆς ἔχουσα τάς τε χεῖρας καὶ πόδας δεδεμένας· ἄγγελος δὲ πλησίον αὐτῆς ἱστάμενος λύει αὐτὴν ἐκ τῶν δεσμῶν· εἰς δὲ τὰ πλάγια τῶν τροχῶν πολλοὶ στρατιῶται κατακερματισμένοι καὶ θανατωμένοι· ὁ δὲ βασιλεὺς ἀπέναντι καθήμενος ἐπὶ θρόνου ὀνειδίζεται παρὰ τῆς βασιλίσσης, ἐξερχομένης τῆς θύρας τοῦ ὀσπητίου· πλῆθος δὲ λαοῦ πέριξ· οὐ μακρὰν δὲ τῆς σκηνῆς ταύτης ἡ αὐτὴ βασίλισσα ἀποκεφαλιζομένη παρὰ τῶν δημίων καὶ παρ' αὐτῇ στρατιωτῶν πλῆθος ἀποκεφαλιζομένων παρ' ἑτέρων δημίων, ὡς ὁμολογήσαντες τὴν εἰς Χριστὸν πίστιν.

Ἡ ἀποτομὴ τῆς ἁγίας Αἰκατερίνης.

§ 476. Ἡ ἁγία Αἰκατερίνη γονατίζει· ὁ δὲ δήμιος παρ' αὐτῇ φέρων ξίφος· πλῆθος δὲ ἀνδρῶν καὶ γυναικῶν πέριξ κλαιόντων τὸν θάνατον τῆς ἁγίας.

ΤΑ ΘΑΥΜΑΤΑ ΤΟΥ ΑΓΙΟΥ ΑΝΤΩΝΙΟΥ.

Ὁ ἅγιος τυπτόμενος ὑπὸ τῶν δαιμόνων.

§ 477. Μνημεῖον, καὶ ὁ ἅγιος ἔσω, κείμενος κατὰ γῆς· οἱ δὲ

δαίμονες κύκλῳ τοῦ ἁγίου ὄντες δέρουσι αὐτὸν ξύλοις· τινὲς δὲ δαίμονες σύρουσι τὸ σκέπασμα τοῦ μνημείου.

Ὁ ἅγιος φεύγων ἐν τῇ ἐρήμῳ εὑρίσκει ἐν τῇ ὁδῷ τὸν δίσκον καὶ τὸ χρυσίον.

§ 478. Βουνά, καὶ δρόμος, καὶ ἐν αὐτῷ κεῖται μέγας δίσκος ἀργυροῦς· καὶ τοῦ δίσκου οὐ μακρὰν χρυσίον πολὺ ἐρριμμένον· ὁ δὲ ἅγιος φέρων ἐπὶ τῶν ὤμων αὐτοῦ τὸ τριβώνιον αὐτοῦ καὶ τὴν ῥάβδον φεύγει δρομαίως βλέπων πρὸς τὰ ὀπίσω.

Ὁ ἅγιος Ἀντώνιος ἐργαζόμενος τὴν γῆν.

§ 479. Χωράφιον μικρόν· ἐν αὐτῷ δὲ λαχάνων πλῆθος· ἐν δέ γωνίᾳ τινὶ σπήλαιον· καὶ παρ' αὐτῷ ὁ ἅγιος σκαλίζων τὰ λάχανα.

Ὁ ἅγιος ἀποστομήσας τοὺς φιλοσόφους ἰᾶται τοὺς δαιμονιζομένους.

§ 480. Ὁ ἅγιος ἱστάμενος, καὶ τρεῖς δαιμονιζόμενοι κείμενοι ἀνάσκελα ἔμπροσθέν του, καὶ δαίμονες ἐξερχόμενοι ἐκ τῶν στομάτων αὐτῶν· τρεῖς δὲ φιλόσοφοι ἱστάμενοι πλησίον ἔχοντας τὰς κεφαλὰς τειλιγμένας διὰ μανδυλίων ἀποροῦν καὶ θαυμάζουν.

Ὁ ἅγιος ὁδηγούμενος ὑπὸ τοῦ ἀγγέλου εἰς τὸ σπήλαιον τοῦ ἁγίου Παύλου.

§ 481. Ἔρημος, καὶ ὁ ἅγιος ὁδοιπορῶν· εἷς δὲ λέων προπορεύεται τοῦ ἁγίου· οὐ μακρὰν δὲ αὐτῶν τὸ σπήλαιον τοῦ ἁγίου Παύλου διακρινόμενον μικρὸν μεταξὺ δένδρων καὶ βουνῶν.

Ὁ ἅγιος Ἀντώνιος εὑρὼν τὸν ἅγιον Παῦλον ἀσπάζεται αὐτόν.

§ 482. Σπήλαιον, καὶ τούτου ἔξω ὁ ἅγιος Παῦλος ὁ Θηβαῖος φορῶν ψιάθιον χιτῶνα ἀπὸ ἄνωθεν μέχρι τῶν γονάτων· οἱ δὲ ἅγιοι περιπτυσσόμενοι συνασπάζονται ἀλλήλοις· εἷς δὲ κόραξ καθήμενος ἐπί τινος δένδρου φέρει ἄρτον εἰς τὸ ῥάμφος αὐτοῦ.

Ὁ ἅγιος Ἀντώνιος ἐνταφιάζων τὸ σῶμα τοῦ ἁγίου Παύλου.

§ 483. Σπήλαιον, καὶ ἔξω τοῦ σπηλαίου ὁ ἅγιος Παῦλος κείμενος κατὰ γῆς νεκρός, ὁ δὲ ἅγιος Ἀντώνιος τειλίσσει τὸν ἅγιον διὰ τοῦ ῥάσου αὐτοῦ· λέοντες δὲ δύο πλησίον ὄντες σκάπτουσι τὴν γῆν διὰ τῶν ἐμπροσθίων ποδῶν.

Ἡ κοίμησις τοῦ ἁγίου Ἀντωνίου.

§ 484. Τάφος ἐσκεπασμένος· δύο δὲ μοναχοὶ βαστάζουσι τὸν ἅγιον τειλιγμένον ἐντὸς ῥάσου· ἐντὸς δὲ τοῦ μνημείου ἕτερος μοναχός, καθὼς καὶ ἐκτός· καὶ πλησίον τοῦ ἐκτὸς σκαπάνη καὶ πτύον κείμενα χαμαί· πλῆθος δὲ ἀγγέλων πέριξ τοῦ ἁγίου λαμπαδοφοροῦντες θυμιῶσιν, οἱ μὲν τὸν νεκρόν, οἱ δὲ τὴν ψυχὴν φέροντες λευκοφόρον ἀνέρχονται εἰς τοὺς οὐρανούς.

Σημ. Ἰδοὺ ἐμνημονεύσαμεν ἤδη ἱκανῶς τινὰ τῶν θαυμάτων καὶ μαρτυρίων τῶν ἐπισημοτέρων ἁγίων· κατὰ τὸν αὐτὸν οὖν τρόπον ἱστοροῦνται καὶ τῶν λοιπῶν ἁγίων, εἴτε ὅλα εἴτε μερικά· ὁ δὲ ἔχων σκοπόν, ἵνα κατὰ πλάτος ἱστορήσῃ ὁποιονδήποτε τῶν ἁγίων θελήσει, δεῖ πρῶτον τὸν ζωγράφον ἐκεῖνον διελθεῖν τὸν βίον τοῦ ζητουμένου ἁγίου καὶ ἐξ αὐτοῦ ὁδηγούμενος διαγράφει πάντα κανονικῶς.

ΠΕΡΙ ΤΟΥ ΠΩΣ ΔΕΙ ΔΙΑΓΡΑΦΕΙΝ ΤΟΥ ΟΛΟΥ ΕΝΙΑΥΤΟΥ ΤΑ ΜΑΡΤΥΡΙΑ

ΜΗΝ ΣΕΠΤΕΜΒΡΙΟΣ.

Οἱ ἅγιοι αὐτάδελφοι, Εὔοδος, Καλλίστη καὶ Ἑρμογένης, ξίφει τελειοῦνται (ά).

§ 485. Ὁ ἅγιος Εὔοδος καὶ Ἑρμογένης κεῖνται κατὰ γῆς ἀποκεφαλισμένοι, ὁ εἷς νέος καὶ ὁ ἕτερος γέρων· πλησίον δ' αὐτῶν ἡ ἁγία Καλλίστη· καὶ παρ' αὐτῇ ὁ δήμιος ξιφήρης.

Ὁ ἅγιος Μηνᾶς τὰ σπλάγχνα διασπασθεὶς τελειοῦται (β').

§ 486. Βουνά, ἐπ' αὐτοῖς δὲ οἶκος, καὶ ὁ ἅγιος Μηνᾶς, νέος ἀγένειος κείμενος ἀνάσκελα, εἷς δὲ στατιώτης παρ' αὐτῷ ἱστάμενος διατρυπᾷ τὴν κοιλίαν τοῦ μάρτυρος διὰ τριαίνης.

Ὁ ἅγιος ἱερομάρτυς Στέφανος ξίφει τελειοῦται (γ').

§ 487. Φρούριον, ἔξωθεν δὲ τῆς πύλης τοῦ φρουρίου ὁ ἅγιος, νέος ἀρχιγένης ἐν στολῇ ἀρχιερατικῇ γονατιστὸς ἄνευ κεφαλῆς· ὁ δήμιος παρ' αὐτῷ φέρων ξίφος αἱματοβαμμένον· ἕτερος δὲ δήμιος λαμβάνει τὴν κεφαλὴν τοῦ μάρτυρος.

Ὁ ἅγιος Βαβύλας σὺν τοῖς τρισὶ νηπίοις τελειοῦται (δ').

§ 488. Ὁ ἅγιος Βαβύλας ἐν στολῇ ἀρχιερατικῇ, γέρων τὴν ἡλικίαν καὶ πλατυγένης, κείμενος ἀποκεφαλισμένος· πλησίον δὲ αὐτοῦ τὰ τρία νήπια γονατιστὰ κλίνοντα τὰς κεφαλάς· πλησίον δὲ αὐτοῖς ὁ δήμιος φέρων ξίφος αἵματι βεβαμμένον.

Ὁ προφήτης Ζαχαρίας ὁ πατὴρ τοῦ Προδρόμου σφάζεται μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου (ε').

§ 489. Ναός, καὶ ἐν αὐτῷ κουβούκλιον καὶ τράπεζα ἔσω τοῦ κουβουκλίου· καταμέτωπον δὲ τῆς ἁγίας τραπέζης ὁ προφήτης Ζαχαρίας, γέρων, μακρυγένης ἐν ἀρχιερατικῇ στολῇ κατὰ τὴν τάξιν τῶν Ἑβραίων ἱστάμενος, ἔχων τὰς χεῖρας καὶ ὄμματα ὑψωμένα ἄνω· εἷς δὲ στρατιώτης κρατῶν τὰς τρίχας τῆς κεφαλῆς τοῦ προφήτου διαπερᾷ διὰ τοῦ ξίφους τὸν λαιμὸν αὐτοῦ.

Ὁ ἅγιος Εὐδόξειος, Ζήνων, Ῥωμῦλος καὶ Μακάριος ξίφει τελειοῦνται (ϛ').

§ 490. Ὁ Εὐδόξειος καὶ ὁ Ζήνων, νέος ἀρχιγένειος γονατιστοί· ἔχοντες τὰς χεῖρας ὑψωμένας εἰς τὸν οὐρανόν, αἱ δὲ κεφαλαὶ αὐτῶν κομμέναι κεῖνται κατὰ γῆς ἔμπροσθεν τῶν ἑαυτῶν σωμάτων· δήμιος δὲ παρ' αὐτοῖς φέρων ξίφος ἐν τῇ θήκῃ· πλη-

σίον δὲ τούτοις ὁ Ῥωμῦλος, γέρων ἀποκεφαλιζόμενος ὑπ' ἄλλου δημίου· ὁ δὲ ἅγιος Μακάριος, νέος τὴν ἡλικίαν, ἀποτέμνεται τὴν κεφαλὴν διὰ ξίφους χαμαὶ κείμενος.

Ὁ ἅγιος Σώζων ῥοπάλοις τυπτόμενος τελειοῦται (ζ').

§ 491. Ὁ ἅγιος κείμενος κατὰ γῆς· δύο δὲ στρατιῶται τύπτουσιν αὐτὸν ῥοπάλοις καὶ βουνεύροις.

Ὁ ἅγιος Σεβεριανὸς λίθων δεθεὶς εἰς τοὺς πόδας καὶ εἰς τὸ τεῖχος κρεμασθεὶς τελειοῦται (θ').

§ 492. Φρούριον καὶ ἄνω τῶν τειχίων δύο στρατιῶται βάλλοντες κάτω τὸν ἅγιον· λίθος μέγας κρέμαται εἰς τοὺς πόδας τοῦ ἁγίου.

Αἱ ἅγιαι Μηνοδώρα, Μητροδώρα καὶ Νυμφοδώρα, τυπτόμεναι τελειοῦνται (ι').

§ 493. Αἱ ἅγιαι κείμεναι κατὰ γῆς γυμναὶ ἀπὸ κεφαλῆς μέχρι ζώνης, ὧν αἱ κεφαλαὶ εἰσὶ τειλιγμέναι μανδυλίοις· στρατιῶται δὲ τρεῖς δέρουσιν αὐτὰς ῥοπάλοις.

Ὁ ἅγιος Διόδωρος Διομήδης, Δίδυμος τυπτόμενοι τελειοῦνται (ιά).

§ 494. Διόδωρος γέρων, ὁ δὲ Διομήδης καὶ Δίδυμος νέοι ἀρχιγένειοι κείμενοι κατὰ γῆς πληγωμένον τὸ σῶμα ἔχοντες παντοῦ· τρεῖς δὲ δήμιοι δέρουσιν αὐτοῖς βουνεύροις.

Ὁ ἅγιος Αὐτόνομος λίθοις καὶ ξύλοις κρουσθεὶς τελειοῦται (ιβ').

§ 495. Ὁ ἅγιος νέος στρογγυλογένης γονατιστὸς κείμενος, ἔχων τὰς χεῖρας αὐτοῦ ὑψωμένας εἰς τὸν οὐρανόν· τέσσαρες δὲ στρατιῶται παρ' αὐτοῖς τύπτουσι ξύλοις καὶ βάλλουσι λίθοις.

Οἱ ἅγιοι Κρονίδης, Μακρόβιος, Λεόντιος καὶ Σεραπῖνος ἐν θαλάσσῃ ῥιφθέντες τελειοῦνται(ιγ').

§ 496. Θάλασσα, καὶ ἐν αὐτῇ πλοιάριον σὺν τοῖς ἁγίοις καὶ

στρατιῶται· ἐξ οὗ ῥίπτονται οἱ ἅγιοι διὰ τῶν στρατιωτῶν εἰς τὴν θάλασσαν· ὁ Μακρόβιος γέρων τὴν ἡλικίαν ἔχει τὸ ἥμισυ τοῦ σώματος ἐν τῇ θαλάσσῃ· ὁ Κρονίδης διάκονος τὸ ἀξίωμα νέαν ἔχει τὴν ἡλικίαν, οἱ δὲ Λεόντιος καὶ Σεραπῖνος, νέοι μεσαιπόλιοι.

Ὁ ἅγιος Νικήτας διὰ πυρὸς τελειοῦται (ιε').

§ **497.** Πυρκαϊὰ μεγάλη, καὶ ἐν αὐτῇ ὁ ἅγιος ἀρχιγένης, ἔχων χεῖρας καὶ ὄμματα ὑψωμένα εἰς τὸν οὐρανόν.

Ἡ ἁγία Εὐφημία δοθεῖσα εἰς βρῶσιν ἄρκτων καὶ λεόντων καὶ μὴ βλαβεῖσα τὸ πνεῦμα τῷ Θεῷ παρέθετο (ις').

§ **498.** Λέοντες καὶ ἄρκτοι, καὶ ἡ ἁγία ἐν μέσῳ αὐτῶν γονατιστή· ἔχουσα χεῖρας καὶ ὄμματα ὑψωμένα εἰς τὸν οὐρανόν.

Ἡ ἁγία Σοφία μετὰ τῶν τριῶν θυγατέρων αὐτῆς Πίστεως, Ἐλπίδος καὶ Ἀγάπης, ξίφει τελειοῦνται(ιζ').

§ **499.** Βουνὰ καὶ ὀσπήτια, καὶ παρ' αὐτοῖς αἱ ἅγιαι, αἱ δύο κείμεναι κατὰ γῆς ἀποκεφαλισμέναι· αἱ δὲ λοιπαὶ δύο γενατισταὶ κλίνουσαι τὰι κεφαλὰς αὐτῶν· ὁ δὲ δήμιος παρ' αὐταῖς ἱστάμενος φέρει ξίφος αἱματόχρουν.

Οἱ ἅγιοι, Τρόφιμος, Δορυμέδων, ξίφει τὰς κεφαλὰς ἀποτέμνονται· ὁ δὲ Σαββάτιος τυπτόμενος τελειοῦται (ιθ').

§ **500.** Ὁ Τρόφιμος ἀρχιγένειος κείμενος ἀποκεφαλισμένος· ὁ Δορυμέδων ἀγένειος γονατιστός, ἔχων ὀπίσω τὰς χεῖρας δεμένος· ὁ δὲ δήμιος προσεγγίζει τὸ ξίφος τῷ λαιμῷ τοῦ ἁγίου· ὁ δὲ Σαββάτιος κείμενος ὕπτιος πληγωμένος καθ' ὅλον αὐτοῦ τὸ σῶμα δύο δὲ στρατιῶται τύπτουσι ῥοπάλοις τοὺς ἁγίους ὅλαις δυνάμεσιν, οὗ τοῦ ἑνὸς τὸ ῥόπαλον φαίνεται ἡμικλασμένον.

Ὁ ἅγιος Εὐστάθιος σὺν τῇ συνοδίᾳ αὐτοῦ ἐν χαλκένῳ βοῒ πυρομένῳ βληθέντες τελειοῦνται (κ').

§ **501.** Χάλκινος βοῦς, καὶ ἐν αὐτῷ ὁ ἅγιος Εὐστάθιος, μεσαι-

πόλιος, στρογγυλογένης σὺν τῇ γυναικὶ καὶ τοῖς τέκνοις αὐτοῦ· στρατιῶται δὲ τοῦ βοὸς κάτωθεν βάλλοντες μεγάλην πυρκαϊάν.

Ὁ ἅγιος Κοδράτος ξίφει τελειοῦται (κά).

§ 502. Ὁ Κοδράτος γέρων βουρλογένης γονατιστός, ἔχων τὰς χεῖρας ἁπλωμένας εἰς τὸν οὐρανόν· ὁ δὲ δήμιος παρ' αὐτῷ ἵσταται ται ξιφήρης.

Ὁ ἅγιος Φωκᾶς ξίφει τελειοῦται (κϐ').

§ 503. Ὁ ἅγιος γέρων ἐν ἀρχιερατικῇ στολῇ κείμενος ἀποκεφαλισμένος, καὶ ὄπισθεν τῶν ποδῶν του πῦρ, ὁ δὲ δήμιος φεύγων στρέφει τὴν κεφαλὴν αὐτοῦ πρὸς τὰ ὀπίσω.

Ἡ ἁγία Θέκλη πέτρας ῥαγείσης καὶ ἐν αὐτῇ εἰσελθοῦσα τελειοῦται (κδ').

§ 504. Βουνὰ καὶ σπήλαιον, καὶ ὀλίγον μακρὰν ἔμπροσθεν τοῦ σπηλαίου πέτρα μεγάλη σχισμένη· καὶ ἡ ἁγία εἰσερχομένη, ἧς τὸ ἥμισυ τοῦ σώματος ἐντὸς τοῦ σπηλαίου κρύπτεται· στρατιῶται δὲ δύο ἔξωθεν τοῦ σπηλαίου κρατοῦσι τὸ ἐπανωφόρεμα αὐτῆς· ἄνω δὲ τῆς κεφαλῆς τῆς ἁγίας ὁ Κύριος ἡμῶν ἐν νεφέλαις δεικνύων διὰ μὲν τῆς ἀριστερᾶς τὴν πέτραν διὰ δὲ τῆς δεξιᾶς εὐλογεῖ αὐτήν.

Ὁ ἅγιος Παῦλος καὶ Τάττα σὺν τοῖς τέκνοις στρεβλούμενοι τελειοῦνται (κέ).

§ 505. Ὀσπήτιον καὶ βουνόν, καὶ ἔμπροσθεν αὐτῶν ὁ Παῦλος γέρων καὶ ἡ Τάττα γραῦς· οἱ δὲ παῖδες αὐτῶν Σαβιανός, νέος στρογγυλογένης, ὁ Μάξιμος ἀρχιγένης· ὁ Ῥοῦφος νέος ἀγένειος, ὁ Εὐγένιο νήπιον πάντες πληγωμένοι κατακερματισμένοι καὶ τελειωμένοι, ἐκτὸς τοῦ νηπίου τὸ ὁποῖον κρατεῖται ἀπὸ τὰς χεῖρας καὶ πόδας παρὰ δύο στρατιωτῶν καὶ στρεβλοῦνται.

Ὁ ἅγιος Ἰωάννης ὁ Θεολόγος καλυπτόμενος ὑπὸ τῶν μαθητῶν αὐτοῦ ἐν Ἐφέσῳ τελειοῦται (κς).

§ 506. Γῆ καὶ λάκκος καὶ ἔμπροσθεν αὐτοῦ οἱ ἑπτὰ μαθηταὶ αὐτοῦ, ὧν οἱ μὲν φέροντες σκαπάνην, οἱ δὲ δίκελλαν, οἱ δὲ πτύον· ὁ δὲ Ἰωάννης ἐν τῷ τάφῳ κεκαλυμμένον ἔχων τὸ σῶμα χώμασι μέχρι λαιμοῦ· τινὲς δὲ αὐτῶν καλύπτουσι τοὺς ὀφθαλμοὺς τοῦ διδασκάλου αὐτῶν.

Ὁ ἅγιος Καλλίστρατος καὶ οἱ σὺν αὐτῷ ξίφει τελειοῦνται (κζ').

§ 507. Ναὸς καὶ ἐν αὐτῷ εἴδωλα κρημνισμένα καὶ συντριμμένα· οἱ δὲ ἅγιοι πλησίον, νέοι ὄντες τὴν ἡλικίαν καὶ γέροντες, ἐξ ὧν οἱ μὲν ἀποκεφαλισμένοι, οἱ δὲ ἱστάμενοι, οἱ δὲ γονατιστοὶ εὑρίσκονται· οἱ δὲ δήμιοι ἀποκεφαλίζουν αὐτούς. Πλησίον δὲ τῆς σκηνῆς ταύτης ὁ ἅγιος Καλλίστρατος γέρων, γονατιστὸς καὶ ὀπισθαγκωνισμένος· ὁ δὲ δήμιος ἵσταται ἔμπροσθεν αὐτοῦ ξιφήρης.

Οἱ ἅγιοι Μάρκος, Ἀλέξανδρος, Ζώσιμος καὶ Ἀλφεῖος ἐν πέτρᾳ ἡλωθέντες τελειοῦνται (κή).

§ 508. Βουνὰ καὶ ἐν αὐτῷ οἱ ἅγιοι, ὁ Ἀλέξανδρος μεξαιπόλιος, οἱ δὲ ἕτεροι δύο ἀρχιγένειοι καρφωμένοι πάντες ἐπὶ πετρῶν καὶ τελειωμένοι ἐκτὸς τοῦ Μάρκου λευκὴν ἔχοντος τῆς κεφαλῆς τὴν κόμην μακρὰν μέχρι ποδῶν καρφωμένος καὶ αὐτὸς πνέει εἰσέτι· ὁ δὲ δήμιος ἐνώπιον αὐτοῦ ἵσταται ξιφήρης.

Ὁ ἅγιος Γοβδελαᾶς εἰς ἵππον ἐκ τῶν ποδῶν δεθείς, ὁ δὲ Δάδας κατακοπεὶς τελειοῦνται· ἡ δὲ Κασδόα ἐν τῷ παραδείσῳ τοῦ βασιλέως ἐν εἰρήνῃ τὸ πνεῦμα τῷ Θεῷ παρέθετο

§ 509. Βουνὰ καὶ ἐν αὐτοῖς ὁ ἅγιος Γοβδελαᾶς, νέος ἀγένειος, δεμένος ἐκ τῶν ὀπισθίων τοῦ ἵππου διὰ σχοινίων σύρεται χαμαί· ὁ δὲ Δάδας, γέρων μακρυγένειος, ἐνδεδυμένος πολύτιμον στολήν, κεῖται χαμαὶ κατακερματισμένος· πέριξ δὲ αὐτῶν στρατιῶται ξι-

φήρεις· ἡ δὲ ἁγία Κασδόα ἐντὸς κήπου εὑρισκομένη μεταλαμβάνει τῶν μυστηρίων διὰ τοῦ ἱερέως καὶ ἄγγελος κυρίου παρ' αὐτῇ.

Ὁ ἅγιος Μαρδόνιος ἄνθρακας ἐπὶ τοῦ ὀμφαλοῦ δεξάμενος τελειοῦται (λ')

§ 510. Ὀσπήτια, καὶ ἐν αὐτοῖς ὁ ἅγιος μεσαιπόλιος, βουρλογένης κείμενος κατὰ γῆς ὕπτιος, πλησίον δὲ αὐτοῦ ἀνθρακιὰ καὶ στρατιώτης λαμβάνων ἄνθρακας διά πτυαρίου τοὺς ῥίπτει ἐπὶ τῆς κοιλίας τοῦ ἁγίου.

Σημ. Ἰδοὺ ἤδη ἑρμηνεύσαμέν σε καὶ τὰ μαρτύρια ἑνὸς μηνὸς τοῦ Σεπτεμβρίου κατὰ τὸ δυνατόν· κατὰ τὸν αὐτὸν δὲ τρόπον ἱστοροῦνται καὶ τὰ λοιπὰ μαρτύρια τοῦ ὅλου ἐνιαυτοῦ· σὺ δέ, ὦ ἁγιογράφε, ἐκ τῶν ὀλίγων τούτων ὠφελούμενος ἀναγίνωσκε καὶ τοὺς κατ' ἔκτασιν αὐτῶν βίους πρὸς περισσοτέραν ὠφέλειαν· τὰ δὲ σχήματα αὐτῶν ζήτει ἐν τοῖς τοῦ Ἄθω καθολικοῖς Πρωτάτου, Βατοπαιδίου, Ἰβήρων, Παντοκράτορος, Ῥωσσικοῦ, Ἐσφιγμένου, Κασταμονίου, Διονυσίου, Σταυρονικήτα καὶ Καρακάλου, ὡς ὑπὸ μιᾶς καὶ τῆς αὐτῆς χειρὸς Πανσεληνείου τῆς δευτέρας καθωραϊσθέντα ἐξ ἀντιγράφων τοῦ παλαιοῦ (α).

ΜΗΝ ΟΚΤΩΒΡΙΟΣ.

§ 511. Ὁ ἀπόστολος Ἀνανίας λιθοβοληθεὶς τελειοῦται, γέρων ὀξυγένης (ά). — Κυπριανὸς ξίφει τελειοῦται, γέρων στρογγυλογένης· ἐν ἄλλοις γέρων σγουροκέφαλος, διχαλογένης. (β'). — Διονύσιος ὁ Ἀρεοπαγείτης ξίφει τελειοῦται φέρων τὴν κεφαλὴν εἰς τὰς χεῖρας του (γ'). — Καπιτολίων ἐξωρυχθεὶς τοὺς ὀφθαλμοὺς καὶ σταυρωθεὶς τελειοῦται, νέος ἀρχιγένης (δ'). — Χαριτίνη τοὺς ὄνυχας χειρῶν καὶ ποδῶν ἐκριζωθεῖσα τελειοῦται (έ). —

(α) Δυστυχῶς ὅμως οὐδὲν τούτων σώζει τοῦ ἀρχαίου καλάμου· ἐκτὸς τὸ τοῦ Πρωτάτου καθολικοῦ Βατοπαιδίου καὶ Παντοκράτορος, πλὴν καὶ ταῦτα ἠκρωτηριασμένα (σημ. τοῦ ἐκδ.).

Θωμᾶς ὑπὸ πέντε στρατιωτῶν λόγχης νυχθεὶς τελειοῦται (ϛ'). — Σέργιος καὶ Βάκχος, ὁ μὲν ἐν βασάνοις· ὁ δὲ διὰ ξίφους τελειοῦνται (ζ'). — Ἰάκωβος ὁ ἀπόστολος σταυρωθεὶς τελειοῦται (ή). — Εὐλάμπιος καὶ οἱ σὺν αὐτῷ ξίφει τελειοῦνται, νέος ἀγένειος οἱ δὲ λοιποὶ διάφοροι (θ'). — Οἱ ἅγιοι, Πρόβος, Τάραχος, Ἀνδρόνικος, μαχαίραις κατακοπέντες τελειοῦνται· ὁ Τάραχος γέρων· οἱ δὲ λοιποὶ νέοι (ιβ'). — Κάρπος, Παπύλος, Ἀγαθόδωρος, Ἀγαθονίκη ξίφει τελειοῦνται· ὁ Κάρπος γέρων, ὁ Πάπυλος ἀρχιγένειος ὁ δὲ Ἀγαθόδωρος ἀγένειος (ιγ'). — Γερβάσιος, Ναζάριος, Πορτάσιος, Κέλσιος, ὁ Ναζάριος μεσαιπόλιος, ὁ Κέλσιος παιδίον, οἱ λοιποὶ νέοι ξίφει τελειοῦνται (ιδ'). —Λογγῖνος γέρων σὺν τοῖς δυσὶ στρατιώταις, ξίφει ἀποτέμνονται τὰς κεφαλὰς οἱ στρατιῶται (ιέ). — Ἀνδρέας συρόμενος ὑπὸ στρατιωτῶν καὶ τὸν πόδα μακελικῇ κοπίδι τμηθεὶς τελειοῦται· ἔστι δὲ γέρων μακρυγένης (ιϛ'). — Μαρῖνος, ὁ γέρων, ξίφει τελειοῦται (ιζ'). — Οὔαρος, νέος ἀρχιγένειος ξίφει τελειοῦται (ιή). — Ἀρτέμιος, νέος ἀρχιγένειος ξίφει τελειοῦται (κ'). — Οἱ ἐν Ἐφέσῳ ἑπτὰ παῖδες ἐν τῷ σπηλαίῳ κοιμώμενοι· νέοι ἀρχιγένειοι (κά). — Ἰάκωβος ὁ ἀδελφόθεος ἐν τῷ πτερίῳ τοῦ ἱεροῦ διδάσκων, ὑπὸ τῶν Ἰουδαίων, τὴν κάραν χρουσθεὶς τελειοῦται (κγ'). — Ἀρέθας καὶ οἱ σὺν αὐτῷ ξίφει τελειοῦνται· ἔστι δὲ ὁ μὲν Ἀρέθας γέρων, οἱ δὲ λοιποὶ διάφοροι τὴν ἡλικίαν (κδ'). — Μαρκιανὸς καὶ Μαρκιανός, νέοι ἀγένειοι, ξίφει τελειοῦνται (κέ). — Δημήτριος Μουστακίζων· διαφόρως βασανισθεὶς τελειοῦται (κϛ'). — Νέστωρ, νέος, ξίφει τελειοῦται (κζ'). — Ἀφρικανὸς καὶ οἱ σὺν αὐτῷ ξίφει τελειοῦνται· ὁ Ἀφρικανὸς γέρων, οἱ δὲ λοιποὶ διαφόρως ἔχουσι τὴν ἡλικίαν (κή). — Ἡ ἁγία Ἀναστασία, τοὺς μαστούς, ὄνυχας καὶ ὀδόντας καὶ τὴν γλῶσσαν ἀποσπασθεῖσα καὶ χεῖρας καὶ πόδας ἐγκοπεῖσα καὶ τὴν κεφαλὴν τμηθεῖσα τελειοῦται.

ΜΗΝ ΝΟΕΜΒΡΙΟΣ.

§ 512. Ἡ ἁγία Κυρίενα καὶ Ἰουλιανὴ πυρὶ τελειοῦνται (ά).

— Ἀκίνδυνος, Πηγάσιος, Ἀφθόνιος, Ἐλπιδοφόρος καὶ Ἀνεμπόδιστος εἰς κάμινον ἐμβληθέντες τελειοῦνται §. 388 (β'). — Ἀκεψιμᾶς. Ἰωσὴφ καὶ Ἀειθαλής, διαφόρως βασανισθέντες τελειοῦνται. ὁ ά. νέος, ὁ β'· γέρων καὶ ὁ γ'. ἀρχιγένειος (γ'). — Νίκανδρος καὶ Ἑρμαῖος γέροντες (δ'). — Γαλακτίων νέος ἀγένειος (έ). — Παῦλος λειτουργῶν ὑπὸ τῶν Ἀρειανῶν τῷ ἰδίῳ ὠμοφορίῳ ἀποπνιγεὶς τελειοῦται· νέος κοντοδιχαλογένειος (ς'). — Νικηφόρος καὶ Πορφύριος, νέοι (ζ'). — Ὀρέστης μεσαιπόλιος (θ'). — Μηνᾶς, Βίκτωρ καὶ Βικέντιος, διαφόρως βασανισθέντες τελειοῦνται §. 388. (ιά). — Φίλιππος νέος ἀγένειος (ιδ'). — Τουρίας, Σαμονᾶς καὶ Ἄβιβος, ἴδε §. 338. (ιέ). — Ματθαῖος ὁ ἀπόστολος, γέρων μακρυγένειος (ις'). — Λάζαρος ὁ Ζωγράφος, γέρων μακρυγένειος (ιζ'). — Πλάτων νέος ἀγένειος (ιή). — Βαρλαάμ, γέρων ὀξυγένειος (ιθ'). — Δάσιος νέος ἀγένειος (κ'). — Βερελιανὸς καὶ Τιβούρτιος, νέοι (κβ'). — Σισίνιος γέρων (κγ'). — Κλίμης γέρων μακρογένειος (κδ'). — Αἰκατερίνη, ζήτει § 469 — 476 (κέ). — Ἰάκωβος νέος, διχαλογένειος (κζ'). — Παράνομος, νέος (κθ'). — Ἀνδρέας γέρων (λ').

ΜΗΝ ΔΕΚΕΜΒΡΙΟΣ.

§ 513. Ἀνανίας (ά). — Μυρώπη (β'). — Θεόδωρος Ἀλεξανδρείας γέρων διχαλογένειος (γ'). — Σεραφεὶμ ἐπίσκοπος Φαναρίου, ὅμοιος τοῦ ἁγίου γρηγορίου τοῦ Παλαμᾶ καὶ Βαρβάρα (δ'). — Ἀναστάσιος ἀρχιγένειος (έ). — Ἀθηνόδωρος, γέρων μακρυγένειος (ζ'). — Σωσίθεος καὶ Ναρσῆς γέροντες, ὁ Ἰσαὰκ νέος (θ'). — Μηνᾶς, Εὔγραφος καὶ Ἑρμογένειος §, 388 (ί). — Ἀκεψιὴς καὶ Ἀειθαλὴς ὁ ά. γέρων ὁ β'. νέος διάκονος (ιά). — Συνετός, νέος ἀναγνώστης μακρὰν κόμην ἔχων (ιβ'). — Οἱ ἅγιοι πέντε μάρτυρες ἴδε §, 389 (ιγ'). — Ἀπολλώνιος ὁσιομάρτυς Θύρσος, γέρων, ὁ Λεύκιος καὶ Καλλίνικος ἀρχιγένειοι (ιδ'). — Ἐλευθέριος, νέος, ἀρχιγένειος (ιέ). — Πρόβος καὶ Ἱλαρίων, νέοι ἀγένειοι (ις'). — Πατερμούθιος γέρων (ιζ)'. — Σεβαστιανός,

νέος ἀρχιγένειος (ιή'. — Βονιφάτιος νέος (ιθ'). — Ἰγνάτιος ὁ Θεοφόρος, γέρων μακρυγένειος (κ'). — Ἰουλιανή, νέα (κα'). — Ἀναστασία (κϐ'). — Οἱ ἐν Κρήτῃ δέκα μάρτυρες ἴδε §, 390. Εὐγενεία (κδ'). — Εὐθύμιος γέρων (κϛ'). — Στέφανος ὁ πρωτομάρτυς νέος ἀγένειος (κζ'). — Οἱ ἅγιοι δισμύριοι οἱ ἐν Νικομηδίᾳ (κη').

ΜΗΝ ΙΑΝΟΥΑΡΙΟΣ.

§ 514. Θεόδοτος, νέος (ά). — Θεογένης γέρων (ϐ'). — Γόρδιος, νέος, ἀρχιγένειος (γ'). — Ζώσιμος καὶ Ἀθανάσιος γέροντες (δ'). — Θεόπομπτος καὶ Θεονᾶς γέροντες (έ). — Ἰουλιανός, μεσαιπόλιος (ή). — Πολύευκτος νέος (θ'). — Μάϊρος ἀρχιγένειος (ιά). — Ταπεινὴ (ιϐ'). — Ἑρμῦλος διάκονος ἀρχιγένης, Στρατόνικος γέρων στρογγυλογένειος (ιγ'). — Οἱ ἐν Σινᾷ καὶ Ῥαϊθῷ Ἀϐϐάδες (ιδ'). — Πανσόφιος ὁ όσιομάρτυς μεσαιπόλιος· οἱ ἅγιοι αὐτάδελφοι Πεύσιππος, Ἐλάσιππος νέοι, ὁ δὲ Μέσιππος παιδίον (ιζ'). — Θεοδούλη (ιή). — Εὐφρασία (ιθ'). — Βάσος, γέρων (κ'). — Νεόφυτος νέος ἀγένειος (κά). — Κλήμης νέος μακρυγένειος· ὁ δὲ Ἀγαθάγγελος νέος ἀρχιγένειος (κγ'). — Θεοδοτίων μεσαιπόλιος (κδ'). — Μεδούλη (κέ). — Φιλόθεος, ὑπερίχιος, Ἄϐιϐοι, Ἰουλιανός, Ῥωμανὸς καὶ οἱ λοιποὶ διάφοροι τὴν ἡλικίαν (κϛ').

ΜΗΝ ΦΕΒΡΟΥΑΡΙΟΣ.

§ 515. Τρύφων, νέος ἀγένειος (ά). — Ἀγαθόδωρος, ἀρχιγέγένειος (β'). Ἀνδριανός, νέος, στρογγυλογένειος (γ'). — Ἀβράμιος, γέρων μακρυπλατυγένειος (δ'). — Ἀγάθη, Εὐϊλάσιος, νέος, ὁ Μάξιμος ἀρχιγένειος (έ). Θεόδωρος ὁ Στρατηλάτης ἴδε §, 388 (ή). — Νικηφόρος ἀρχιγένειος (θ'). — Χαραλάμπης, γέρων ἀσπρογένης (ί). — Βλάσιος γέρων (ιά). — Σατορνῖνος, γέρων ἐλαττωγένειος (ιϐ'). — Ἀκύλας νέος ἀρχιγένειος (ιγ'). — Θεόδωρος Τύρων ἴδε §, 388 (ιζ'). — Λέων φαλακρὸς βουρλογέ-

νης (ιή). — Σαδώας ἱερομάρτυς γέρων, μακροδιχαλογένειος (κγ'). — Ῥιγῖνος ἱερομάρτυς, ἀρχιγένειος (κέ.) — Φωτεινὴ (κς'). — Γεράσιμος νέος (κζ'). — Παρτέριος ἱερομάρτυς, γέρων πλατυγένειος (κή).

ΜΗΝ ΜΑΡΤΙΟΣ.

§ 516. Εὐδοκία ἡ ὁσιομάρτυς (ά). — Νέστωρ, γέρων, ἀρχιγένειος (β'). — Κλεόνιος, νέος σιμογένειος, ὁ Εὐτρόπιος σγουροκέφαλος, κοντογένειος ὁ Βλάσιος ἀγένειος (γ'). — Παῦλος νέος ἀρχιγένειος (δ'). — Κοίων, γέρων (έ). — Οἱ μβ'. μάρτυρες, οἱ ἐν τῷ Ἀμορίῳ, διάφοροι (ζ'). — Ἐφραὶμ γέρων, οἱ δὲ λοιποὶ διάφοροι, Δίων ἀρχιγένειος (ή). — Οἱ τεσσαράκοντα μάρτυρες ἴδε §, 391 (θ'). — Κοδράτος ἀρχιγένειος (ί). — Τρόφιμος γέρων, ὁ δὲ Θολὸς μεσαιπόλιος (ιά). — Ἀρπασιανὸς γέρων, φαλακρὸς ὀξυγένειος (ιβ'). — Ἀγάπιος γέρων, οἱ δὲ λοιποὶ διάφοροι (ιέ). — Σαβῖνος, γέρων μακρυγένειος (ις'). — Παῦλος ἀρχιγένειος (ιζ'). — Χρύσανθος νέος (ιθ'). — Φιλήμων καὶ Δομῆνος ἀρχιγένειος (κά). — Βασίλειος ὁ Πρεσβύτερος γέρων (κβ'). — Νίκων ὁ ἱερομάρτυς γέρων (κγ'). — Ἀρτέμων γέρων μακρυγένειος (κέ). — Οἱ ἐν Γοτθίᾳ μάρτυρες διάφοροι κατὰ τὴν ἡλικίαν (κς'). — Ἰωνᾶς νέος, ὁ δὲ Φαρτιχύσιος βουρλογένειος (κζ'). — Φιλιτὸς καὶ οἱ σὺν αὐτῷ διάφοροι (κή). — Μάρκος ὁ ὁσιομάρτυς, γέρων, οἱ δὲ σὺν αὐτῷ διάφοροι (κθ'). — Ὕπατος, γέρων ὀξυγένειος (λα').

ΜΗΝ ΑΠΡΙΛΙΟΣ.

§ 517. Γερόντιος νέος, ὁ δὲ Βασιλίδης ἀρχιγένης (ά). — Ἀμφιανὸς γέρων (β'). — Ἐλπιδόφορος, νέος ἀγένειος (γ'). — Θεόδουλος καὶ Ἀγαθόπαις νέοι ἀγένειοι (δ'). — Κλαύδιος γέρων (έ). — Καλλιόπιος νέος ἀγένειος (ζ'). — Εὐτύχιος νέος (θ'). — Τερέντιος καὶ οἱ σὺν αὐτῷ διάφοροι (ι'). — Ἀντύπας ὁ ἱερομάρτυς, γέρων μακρυγένης (ιά). — Δῆμος ἀρχιγένειος ὁ δὲ Πρω-

τίνων σιμογένης (ιβ'). — Μάξιμος νέος, Κιντιλιανὸς γέρων (ιγ'). — Εἰρήνη, Ἀγάπη, Χιονία καὶ αἱ ἀδελφαὶ (ιδ'). — Κρήσκης ἀρχιγένης (ἑ). — Συμεὼν γέρων, οἱ δὲ σὺν αὐτῷ διάφοροι (ιζ'). — Σάββας ὁ στρατηλάτης (ιή). — Θεόδωρος νέος, ἀρχιγένειος (ιθ'). — Ἰανουάριος ὁ ἱερομάρτυς γέρων (κά). — Νέαρχος, νέος ἀγένειος (κβ'). — Γεώργιος, νέος ἀγένειος (γ'). — Σάββας ὁ ἄνωθεν ξανθογένειος (κδ'). — Βασιλεὺς ἱερομάρτυς, ἀρχιγένειος (κζ').

ΜΗΝ ΜΑΪΟΣ

§ 518. Βητᾶς ὁ Πέρσης γέρων στρογγυλογένειος (ά). — Ἑσπέριος ἀρχιγένειος (β'). — Τιμόθεος νέος βουρλογένειος (γ')· — Πελαγία (δ'). — Εἰρήνη (ἑ). — Ἀκάκιος, νέος ἀρχιγένειος (ζ'). — Ἡσαΐας ὁ Προφήτης, γέρων, (ή). — Σίμων ὁ Ζηλωτής, γέρων, φαλακρὸς στρογγυλογένειος (ι'). — Μώκιος ἱερομάρτυς, νέος, ἀρχιγένειος (ιά). — Θεόδοτος ἱερομάρτυς, γέρων στρογγυλογένειος (ιβ'). — Γλυκερία (ιγ'). — Ἰσίδωρος νέος ἀρχιγένειος (ιδ'). — Βάχθησος, γέρων, οἱ δὲ σὺν αὐτῷ διάφοροι (ις'). — Σολύχων, νέος στρογγυλογένειος (ιζ'). — Διονύσιος καὶ Πέτρος, γέροντες (ιή). — Πατρίκιος γέρων, οἱ δὲ λοιποὶ διάφοροι, ὁ Ἀπολύαινος ἀρχιγένειος (ιθ'). — Θαλαλαῖος, νέος μακρογένειος (κ'). — Βασιλίσκος, νέος (κβ'). — Παγχάριος, μεσαιπόλιος (κέ). — Ἀβάκιος, νέος μακρυγένειος (κς'). — Ἑλλάδιος, γέρων, (κζ'.) — Εὐτύχιος, νέος πλατυγένειος (κή). — Θεοδοσία (κθ'). — Ἕρμειος, ἀρχιγένειος (λ').

ΜΗΝ ΙΟΥΝΙΟΣ

§ 319. Ἰουλῖνος ὁ Φιλόσοφος, γέρων μακρυγένειος (ά). — Λουκιανός, γέρων (γ'). — Δωρόθεος ἱερομάρτυς, γέρων φαλακρὸς μακρυγένειος (ἑ). Θεόδοτος ἱερομάρτυς μεσαιπόλιος (ζ'). — Καλλιόπη (ή). — Πελαγία (θ'). — Ἀλέξανδρος, ἀρχιγένειος, Ἀπόλλων ὁ ἱερομάρτυς, ἀρχιγένειος (ι'). — Βαρθολομαῖος

καὶ Βαριάβας, νέοι ἀρχιγένειοι (ιά). — Ἀντώνιος (ιβ′). — Ἀκυλίνα (ιγ′). — Κύριλλος ὁ ἱερομάρτυς, νέος φαλακρὸς ἀρχιγένειος (ιδ′). — Δουλᾶς νέος (ιέ). — Μανοὴλ, Σαβὲλ καὶ Ἰσμαὴλ ἀρχιγένειοι (ις′). — Ὑπάτιος μεσαιπόλιος, καὶ Λεόντιος ἀρχιγένειος (ιή). — Ἰούδας ὁ ἀπόστολος (ιθ′). — Μεθόδιος ὁ ἱερομάρτυς, γέρων μακρυγένειος (κ′). — Ἀφροδίσιος, νέος μακρυγένειος (κά). — Εὐσέβιος ἱερομάρτυς, γέρων πλατυγένειος (κβ′). — Ἔρως μάρτυς, νέος ἀγένειος (κδ′). — Φερουνία ἡ ὁσιομάρτυς (κέ). — Ἄνεκτος, ἀρχιγένειος (κζ′). — Πάπιος, νέος (κή).

ΜΗΝ ΙΟΥΛΙΟΣ.

§ 520. Οἱ ἅγιοι Ἀνάργυροι Κοσμᾶς καὶ Δαμιανός, ἀρχιγένειοι (ά). — Κόϊτος (β′). — Ὑάκινθος ἀρχιγένειος (γ′). Θεόδοτος, γέρων ἀρχιγένειος (δ′). — Ἀγνή (έ.) — Λουκία καὶ Ῥῆζος ἀρχιγένειος (ς′). — Κυριακὴ (ζ′). — Προκόπιος ἀγένειος (ή). — Παγκράτιος, μισαιπόλιος ὀξυγένειος (θ′). — Λεόντιος καὶ οἱ σὺν αὐτῷ διάφοροι (ί). — Πρόκλος, γέρων, Ἰουλιανός, νέος (ιβ′). — Ἰοῦστος, νέος ἀρχιγένειος (ιδ′). — Κυριακὸς τριετὴς (ιέ)· — Ἀθηνογένης ὁ ἱερομάρτυς, γέρων (ις′). — Μαρίνα (ιζ′). — Θεόφιλος ἀρχιγένειος (ιθ′). — Φωκᾶς ἱερομάρτυς, γέρων στρογγυλογένειος (κά). — Χριστίνα (κγ′). — Παρασκευὴ (κς′). — Παντελεήμων νέος ἀγένειος σγουροκέφαλος (κζ′). — Καλλίνικος (κθ′). — Ἰουλίττα (λ′).

ΜΗΝ ΑΥΓΟΥΣΤΟΣ

§ 521. Οἱ ἅγιοι Μακαβαῖοι ἴδε §, 392 (ά). — Φωκᾶς νέος στρογγυλογένειος (β′). — Στέφανος ὁ ἱερομάρτυς, γέρων ὀξυγένειος (γ′). — Θαλουὴλ ἀρχιγένειος (δ′). — Εὐσίγνιος γέρων (έ). — Δομέτιος ὁ ὁσιομάρτυς, γέρων· οἱ δὲ δύο αὐτοῦ μαθηταὶ ἀρχιγένειοι (ζ′). — Ἐλευθέριος ἀρχιγένειος· ὁ δὲ Λεόντιος ἀγένειος (ή). — Ματθίας ὁ ἀπόστολος, γέρων στρογγυλογένειος (θ′).

— Ἱππόλιτος ὁ ἱερομάρτυς, σιμογένης· ὁ δὲ Ξύστος γέρων μακρυγένης, ὁ Λαυρέντιος ἀρχιγένειος (ι'). — Εὔπλος διάκονος, νέος ἀγένειος (ιά). — Φώτιος καὶ Ἀκίνητος νέοι (ιϐ). — Μάρκελλος ἱερομάρτυς γέρων (ιδ'). — Διομήδης, νέος ὀξυγένειος (ιϛ'). — Μύρων ὁ ἱερεύς, γέρων (ιζ'). — Φλῶρος καὶ Λαῦρος, νέοι ἀγένειοι (ιή). — Ἀνδρέας ὁ στρατηλάτης, γέρων σγουροκέφαλος. οἱ δὲ σὺν αὐτῷ διάφοροι (ιθ'). — Οἱ ΛΓ'. μάρτυρες οἱ ἐν Βιζύῃ διάφοροι (κ'). — Ἡ ἁγία Βασάνη σὺν τοῖς τέκνοις (κα'). — Εἰρηναῖος διάκονος νέος (κϐ'). — Λοῦππος, νέος ἀγένειος· ὁ δὲ Γεώργιος γέρων (κδ'). — Ἀνδριανὸς νέος ἀρχιγένειος (κϛ'). — Εὐθαλία (κζ'). — Ἡ ἀποτομὴ τοῦ Προδρόμου (κθ'). — Οἱ ἅγιοι ΙϚ'. μάρτυρες οἱ Θηϐαῖοι (λ').

Σημ. Ἰδοὺ τέλος πάντων καὶ οἱ τοῦ ὅλου ἐνιαυτοῦ μάρτυρες ἐν συντόμῳ. Σὺ οὖν εἰ βούλει διαγράφειν τὰ μαρτύρια αὐτῶν εἰκονικῶ καὶ κατ' κτασιν ἀναγίνωσκε ἐπιμελῶς πρῶτον τοὺς κατὰ πλάτο αὐτῶν βίους.



ΛΗ' ΥΠΟΘΕΣΕΙΣ ΕΚ ΤΩΝ ΠΑΤΕΡΙΚΩΝ.

Πῶς ὁ τοῦ ἀληθινοῦ μοναχοῦ βίος διαγράφεται.

§ 522. Διάγραψον σταυρὸν καὶ ἐπ' αὐτῷ μοναχὸν ἐνδεδυμένον ῥάσον καὶ καλυμαύκιον· ἔχοντα τοὺς πόδας αὐτοῦ προσηλωμένους ἐπὶ τῷ ὑποποδίῳ τοῦ σταυροῦ, τὰ ὄμματα δὲ αὐτοῦ καὶ στόμα κεκλεισμένα καὶ ἐπὶ τῆς κεφαλῆς τοῦ σταυροῦ γράψον ταύτην τὴν ἐπιγραφήν. *Θοῦ Κύριε φυλακὴν τὸ στόματί μου καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου·* φέρει δὲ εἰς τὰς χεῖρας καὶ λαμπάδας ἀναμμένας· καὶ παρὰ ταῖς λαμπάσι ταύτην τὴν ἐπιγραφήν· *Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.* Ἐπὶ δὲ τοῦ στήθους ταύτην τὴν ἐπιγραφήν.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Ἐπὶ δὲ τῆς κοιλίας ταύτην· *Μὴ σὲ ἀπατᾷ, ὦ μοναχέ, χορτασία κοιλίας.* Ὑπὸ τῶν γονάτων δὲ ταύτην· *Ἑτοιμάσατε τοὺς πόδας εἰς ὁδὸν τοῦ εὐαγγελίου τῆς εἰρήνης.* Ἐπὶ τοῦ ὑπογαστρίου δὲ ταύτην· *Νεκρώσατε τὰ μέλη ἡμῶν τὰ ἐπὶ τῆς γῆς.* Ἄνω δὲ τῆς ἐπιγραφῆς τῆς οὔσης ἐπὶ κεφαλῆς τοῦ μοναχοῦ ταύτην· *Ἐμοὶ μὴ γένοιτο καυχᾶσθαι, εἰμὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου μου.* Εἰς δὲ τὴν δεξιὰν ἄκραν τοῦ σταυροῦ ταύτην· *Ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.* Εἰς δὲ τὴν ἀριστερὰν ταύτην. *Ὅστις οὐκ ἀποτάσσεται πᾶσι τοῖς ἑαυτοῦ, οὐ δύναται εἶναι μαθητὴς τοῦ Χριστοῦ.* Ὑπὸ τὸ ὑποπόδιον δὲ ταύτην· *Στενὴ καὶ τεθλιμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν.* Διάγραψον δὲ καὶ σπήλαιον σκοτεινὸν πρὸς τὰ δεξιὰ τοῦ σταυροῦ μέρη καὶ ἐπίγραψον αὐτό· *Ὁ παμφάγος ᾅδης.* Δράκων δὲ μέγας ἐκ τοῦ σπηλαίου ἐξερχόμενος φέρει ἐντὸς τοῦ χάσκοντος αὐτοῦ στόματος νεανίαν γυμνὸν ἔχοντα τοὺς ὀφθαλμοὺς αὐτοῦ κεκαλυμμένους μανδυλίῳ· φέρει δὲ ὁ νεανίας τόξον δι' οὗ τὸν μοναχὸν τοξεύει, φέρει δὲ ὄνομα· *Ὁ ἔρως τῆς πορνείας.* Τοῦ σπηλαίου δὲ ἄνωθεν γράψον ὄφεις διαφόρους τὸ χρῶμα καὶ τὸ μέγεθος καὶ ἐπιγραφήν· *Οἱ λογισμοί.* Παρὰ δὲ τῷ ᾅδῃ, δράκοντα διάγραψον, ἕλκοντα διὰ σχοινίου τὸν σταυρὸν πρὸ ἑαυτοῦ καὶ λέγοντα· *Οὐ δύναται βαστάζειν ἡ σάρξ, ἀσθενὴς οὖσα.* Εἰς δὲ τὸ δεξιὸν τοῦ ὑποποδίου μέρος διάγραψον ἱστὸν καὶ σημαίαν σταυροφόρον καὶ ἐν αὐτῇ ταῦτα· *Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντι με Χριστῷ.* Εἰς δὲ τὸ ἀριστερὸν μέρος τοῦ σταυροῦ, πύργον διάγραψον καὶ νεανίαν ἐξερχόμενον τῆς θύρας αὐτοῦ ἔφιππον, φέροντα κάλυμμα μὲ τιάραν χρυσῆν καὶ κροσσωτήν, ἱμάτια δὲ ποικίλα ὅλως καὶ χρυσόπαστα· εἰς δὲ τὴν δεξιὰν φιάλην οἴνου, εἰς τὴν ἀριστερὰν δόρυ σπογγοφόρον, ἐπὶ τοῦ ὁποίου κρέμαται ἐπιγραφὴ λέγουσα· *Ἀπόλαβε τὰ ἡδέα τοῦ κόσμου,* ἣν καὶ δεικνύει τῷ ἐσταυρωμένῳ μοναχῷ σὺν τῷ λοιπῷ κόσμῳ, ἃ φέρει ὁ νεανίας ἐπὶ τοῦ σώματος αὐτοῦ· ἐπὶ δὲ τῆς κεφαλῆς τοῦ νεανίου γράψον· *Ὁ μάταιος κόσμος.* Παρὰ δὲ

τῷ λευκῷ ἵππῳ τοῦ νεανίου τὸν θάνατον διάγραψον ἐξερχόμενον τοῦ μνημείου φέροντα δρέπανον μέγα καὶ ἡμιώριον ἐπικεφαλῆς καὶ βλέποντα τὸν μοναχόν· φέρει δὲ καὶ οὗτος ταύτην τὴν ἐπιγραφήν· *Ὁ θάνατος καὶ ὁ τάφος*. Ἐξ ἑνὸς δὲ καὶ ἄλλου μέρους τοῦ σταυροῦ ἀγγέλους δύο φέροντας ἐπιγραφάς· καὶ ἡ μὲν τοῦ δεξιοῦ λέγει· *Ὁ Κύριος ἐξαπέστειλέ με πρὸς βοήθειάν σου*. Ἡ δὲ τοῦ ἀριστεροῦ· *Ἐργάζου τὸ ἀγαθὸν καὶ μὴ φοβοῦ*. Διάγραψον δὲ καὶ τὸν Ἰησοῦν ἐν μέσῳ νεφελῶν ἐπὶ κεφαλῆς τοῦ σταυροῦ φέροντα ἐπὶ τοῦ στήθους εὐαγγέλιον ἀνοικτὸν λέγον· *Ὅστις θέλει ὀπίσω μου ἐλθεῖν ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθήτω μοι*. Φέρει δὲ ὁ Κύριος εἰς μὲν τὴν δεξιὰν διάδημα βασιλικὸν εἰς δὲ τὴν ἀριστερὰν στέφανον ἐξ ἀνθέων· ἐξ ἑνὸς δὲ καὶ ἄλλου μέρους τοῦ Κυρίου παρὰ τῷ σταυρῷ ἄγγελοι ἐπιβλέποντες τῷ μοναχῷ καὶ λέγοντες διὰ τῆς ἐπιγραφῆς ἣν φέρουσιν· *Ἀγωνίζου ἵνα λήψῃς τὸν στέφανον τῆς δικαιοσύνης, καὶ ἐπιθήσει Κύριος διάδημα ἐκ λίθων πολυτελῶν*. Ἔγραψα δὲ καὶ ταῦτα· *Ὁ βίος τοῦ ἀληθινοῦ μοναχοῦ*.

Ἡ ψυχοσωτήριος καὶ οὐρανόδρομος κλίμαξ.

§ 523. Μοναστήριον καὶ ἔξωθεν τῆς πύλης αὐτοῦ πλῆθος μοναχῶν πάσης ἡλικίας· παρ' αὐτῇ δὲ κλίμαξ φθάνουσα μέχρις οὐρανοῦ· καὶ μοναχοὶ ἀνερχόμενοι διὰ τῶν βαθμίδων αὐτῆς· οἱ μὲν πρὸς τὰς ἀρχὰς τῆς κλίμακος ὄντες, οἱ δὲ πρὸς τὰ μέσα οἱ δὲ πρὸς τὸ τέρμα σχεδόν· καὶ ἄγγελοι παρὰ τοῖς ἀναβαίνουσι βοηθοῦντες τοῖς μοναχοῖς· ὁ δὲ Κύριος τῆς κλίμακος ἄνω μεταξὺ ἀγγέλων πολυαρίθμων καὶ νεφελῶν λαμβάνει τὸν ἀναβαίνοντα μοναχὸν ἐκ τῶν χειρῶν διὰ τῆς μιᾶς, γηραιὸν ὄντα πάνυ τὴν ἡλικίαν καὶ ἱεροπρεπῆ, διὰ δὲ τῆς ἄλλης ἐπιθέτει ἐπὶ τῆς κορυφῆς τοῦ μοναχοῦ στέφανον ἀνθοφόρον καὶ λίθοις πεποικιλμένον· ἐκ δὲ τοῦ στόματος τοῦ Κυρίου ἐξέρχονται ταῦτα· « *Δεῦτε πρός με πάντες, οἱ κοπιῶντες καὶ πεφορτισμένοι κἀγὼ ἀναπαύσω ὑμᾶς* ». Πρὸς τὰ ἀριστερὰ δὲ τῆς κλίμακος μέρη δαίμονες ἀναβαίνοντες

καὶ καταβαίνοντες σύροντες πρὸς ἑαυτοὺς τοὺς μοναχοὺς διὰ τῆς βίας ἐκ τῶν ἐνδυμάτων· τινας μὲν τούτων φοβίζουσιν μακρόθεν· τινὰς δὲ ῥίπτουσιν κατακεφαλῆς ἐκ τῆς ἀνωτάτης βαθμίδος· τινὰς δὲ ἐκ τοῦ μέσου, τινὰς δὲ εὐθὺς ἐν τῇ ἀναβάσει, τινὰς δὲ δοκιμάζουσιν ἵνα ῥίψωσι κάτω, ἀλλὰ μὴ δυνάμενοι καταξεσχίζουσιν ἑαυτούς· τινὲς δὲ καί τοι κατὰ κεφαλῆς ὄντες συρόμενοι πρὸς τὰ κάτω παρὰ τῶν δαιμόνων, ἀντέχουσιν ὅμως κρατοῦντες τὴν κλίμακα ὅλαις δυνάμεσι διὰ τῶν χειρῶν· ἐγγὺς δὲ τῆς κλίμακος ὁ παμφάγος ᾄδης ὡς δράκων μέγας καὶ φοβερὸς ἔχων ἐντὸς τοῦ στόματος μοναχὸν καταβαίνοντα πρὸς τὰ κάτω.

Ἐπίγραμμα.

« Βλέπον κλίμακα πρὸς πόλον ἐστραμμένην
» Ὀρθῶς νόειμοι ἀρετῶν ἀναβάσεις
» Ῥευστοῦ βίου οὖν ἐκφυγὼν ὅσον τάχος
» Ἴθι πρὸς αὐτὴν καὶ ἄνελθε ἐμπόνως
» Ἔχων δὲ φρουροὺς τοὺς χοροὺς τῶν ἀγγέλων
» Λόχους διέλθεις τῶν πονηρῶν δαιμόνων.
» Ὅπως ἀνελθὼν εἰς πύλας οὐρανίους
» Ἕξεις στέφανον χειρὶ τοῦ Κυρίου».

Πῶς διαγράφεται ὁ θάνατος τοῦ ὑποκριτοῦ.

§ 524. Μοναχὸς ἐπὶ κλίνης χρυσοϋφάντου· ἐκ δὲ τοῦ στόματος αὐτοῦ δράκων ἐξέρχεται μέγας καὶ φοβερὸς τὴν ὄψιν· ἐπὶ δὲ τῆς κεφαλῆς τοῦ μοναχοῦ δαίμων σκοτεινὸς ἐμπήγων εἰς τὴν καρδίαν τοῦ μοναχοῦ τρίαιναν.

Πῶς δὲ ὁ τοῦ δικαίου.

§ 525. Ἀνὴρ ἀρχιγένειος κείμενος νεκρὸς ἐπὶ ψάθης πενιχρᾶς ἔχων πρόσωπον σεμνὸν καὶ χαρίεν, τὰς χεῖρας ἐσταυρωμένας ἐπὶ τοῦ στήθους καὶ τοὺς ὀφθαλμοὺς κλεισμένους· παρ' αὐτῷ δὲ ἀγ-

γελος ἀνερχόμενος ἱλαρῷ τῷ προσώπῳ φέρει τὴν ψυχὴν ἐν τιμῇ καὶ εὐλαβείᾳ πολλῇ.

Ὁ θάνατος τοῦ ἁμαρτωλοῦ.

§ 526. Ἀνὴρ προβεβηκὼς τὴν ἡλικίαν ἐπὶ κλίνης κείμενος ἐσκεπασμένος ὢν πολυτίμοις ἐφαπλώμασι στρέφων τοὺς ὀφθαλμοὺς ἄνω καὶ κάτω καὶ σφαδάζων τῷ σώματι τὰς δὲ χεῖρας ἐκτείνων ἀτάκτως πρὸς τὰ ὄπισθεν· ἄνω δὲ τῆς κλίνης δαίμων, ἐμπήγων εἰς τὴν καρδίαν του τρίαιναν πύρινον, ἕλκει τὴν ψυχὴν αὐτοῦ βιαίως.

Περὶ τοῦ πῶς δεῖ διαγράφειν τὸν μάταιον χρόνον τοῦ βίου τούτου.

§ 527. Γράψον κύκλον, καὶ ἐν αὐτῷ ἄνδρα γέροντα στρογγυλογένειον ἐνδεδυμένον πορφύραν καὶ βύσσον καὶ διάδημα ἐπὶ κεφαλῆς φέροντα ἐπὶ θρόνου καθήμενον ἐκτείνοντα τὰς χεῖρας αὐτοῦ πρὸς τὸ ἓν καὶ ἄλλο μέρος τοῦ κύκλου φέροντα ἐν ταῖς χερσὶν ταύτην τὴν ἐπιγραφήν· *Ὁ μάταιος καὶ πλάνος καὶ ἀπατεὼν κόσμος*. Γράψον δὲ καὶ δεύτερον τροχὸν μεγαλήτερον τοῦ πρώτου ἔχων ἐν τῷ κέντρῳ τὸν πρῶτον καὶ μεταξὺ τῶν δύω γράψον ἄλλους μικροτέρους σταυροειδῶς καὶ ἐν αὐτοῖς τοὺς τέσσαρας καιροὺς τοῦ χρόνου. *Ἔαρ, Θέρος, Φθινόπωρον καὶ Χειμῶνα*. Καὶ τὸ μὲν Ἔαρ γράψον ἐπικεφαλῆς οὕτως· νεανίαν καθήμενον μεταξὺ ἀνθέων καὶ χλοφόρων φυτῶν ἐστεφανωμένον στεφάνῳ ἀνθέων καὶ κρούοντα κιθάραν· ἐν δὲ τῷ δεξιῷ κύκλῳ γράψον τὸ θέρος οὕτως· ἄνδρα φέροντα ἐπὶ τῆς κεφαλῆς σκιάδιον καὶ δρέπανον ἐν ταῖς χερσὶ θερίζοντα χωράφιον· ἐν δὲ τῷ κάτω κύκλῳ τὸ φθινόπωρον οὕτως· ἄνδρα ῥαβδίζοντα δένδρα καὶ ῥίπτοντα κάτω τοὺς καρποὺς καὶ τὰ φύλλα· ἐν δὲ τῷ ἀριστερῷ κύκλῳ τὸν χειμῶνα οὕτως· ἄνθρωπον ἐν μηλωταῖς καὶ ἐνδύμασι ποικίλοις σκέπασμα δὲ φέρει ἐπὶ τῆς κεφαλῆς, δέρμα ἄρκτου λευκῆς· καθήμενον ἐπὶ σκίμποδος ἐνώπιον πυρὸς θερμαινόμενος· γράψον δὲ καὶ

τρίτον κύκλον μεγαλήτερον τοῦ δευτέρου· ἔχοντα ἐν τῷ κύκλῳ καὶ τοὺς δύο πρώτους· μεταξὺ δὲ τοῦ τρίτου καὶ τοῦ δευτέρου γράψον δώδεκα κυκλίσκους, καὶ ἐν αὐτοῖς τὰ δώδεκα ζῴδια τῶν δώδεκα μηνῶν· πρόσεχε δὲ ἵνα γράψῃς τὰ ἁρμόζοντα ζῴδια ἑκάστῳ· οἷον εἰς μὲν τὸ ἔαρ· *Κριόν, Ταῦρον καὶ Δίδυμον·* εἰς δὲ τὸ θέρος· *Καρκῖνον Λέοντα καὶ Παρθένον·* εἰς δὲ τὸ φθινόπωρον· *Ζυγόν, Σκορπιὸν καὶ Τοξότην·* εἰς δὲ τὸν χειμῶνα· *Αἰγόκερων, Ὑδροχόον καὶ Ἰχθύν·* γράψον δὲ ταῦτα κατὰ τάξιν τοῦ τροχοῦ πέριξ καθὼς καὶ τὰ ὀνόματα ἑνὸς ἑκάστου αὐτῶν σὺν τοῖς τῶν μηνῶν οὕτως· εἰς τὸν Κριὸν γράψον Μάρτιος, εἰς τὸν Ταῦρον Ἀπρίλιος, εἰς τὸν Δίδυμον Μάϊος, εἰς τὸν Καρκῖνον Ἰούνιος, εἰς τὸν Λέοντα Ἰούλιος, εἰς τὴν Παρθένον Αὔγουστος, εἰς τὸν Ζυγὸν Σεπτέμβριος, εἰς τὸν Σκορπίον Ὀκτώβριος, εἰς τὸν Τοξότην Νοέμβριος, εἰς τὸν Αἰγόκερων Δεκέμβριος, εἰς τὸν Ὑδροχόον Ἰανουάριος, καὶ εἰς τὸν Ἰχθὺν Φεβρουάριος. Ἔξωθεν δὲ τοῦ τρίτου καὶ μεγαλητέρου κύκλου γράψον τὰς ἑπτὰ ἡλικίας τοῦ ἀνθρώπου, οὕτως. Πρὸς τὰ δεξιὰ τοῦ κύκλου τοῦ κέντρου ἀντίον γράψον νήπιον ἀναβαῖνον· καὶ ἐπὶ κεφαλῆς, γράψον· *παιδίον ἐτῶν ζ΄,* τοῦ παιδὸς δὲ ἄνω γράψον, ἄλλο μεγαλήτερον καὶ ἐπὶ κεφαλῆς αὐτοῦ *παῖς ἐτῶν ιδ΄,* τούτου δὲ ἀνωτέρω μειράκιον μουστακίζον καὶ ταῦτα *μειρακίου ἐτῶν κα΄,* ἐπὶ δὲ τῆς κεφαλῆς ἀρχιγένειον ἐπὶ θρόνου καθήμενον ἐνδεδυμένον χρυσόπαστον πορφύραν ἐκτείνοντα τὰς χεῖρας αὐτοῦ πρὸς τὸ ἓν καὶ ἄλλο μέρος καὶ φέροντα εἰς μὲν τὴν δεξιὰν σκῆπτρον, εἰς δὲ τὴν ἀριστερὰν θυλάκιον χρημάτων· ἐπὶ δὲ τῆς κεφαλῆς διάδημα, ἐπὶ δὲ τοῦ ὑποποδίου ταῦτα *νεανίσκον ἐτῶν κη.* κατωτέρω δὲ ἄλλο κείμενον ἀνάσκελα καὶ βλέποντα πρὸς τὰ ἄνω καὶ τῆς κεφαλῆς αὐτοῦ κύκλω *ἀνὴρ ἐτῶν λέ,* κατωτέρω δὲ τούτου ἄλλον κείμενον προὔμυτα μεσαιπόλιον καὶ περὶ αὐτοῦ *πρεσβύτης ἐτῶν μϐ΄,* καὶ τούτου κατωτέρω τὸν πρεσβύτην ἀσπρογένειον καὶ φαλακρὸν τὴν κεφαλὴν πρὸς τὰ κάτω ἔχοντα καὶ τὰς χεῖρας κρεμασμένας καὶ ἐπὶ κεφαλῆς *γέρων ἐτῶν οέ,* κατωτέρω δὲ τοῦ τροχοῦ γράψον τάφον καὶ ἐν αὐτῷ δράκοντα μέγα καὶ ἐν τῷ στόματι

αὐτοῦ ἄνδρα κατερχόμενον διὰ τῆς κεφαλῆς φαινόμενος μόνος ἥμισυς καὶ παρὰ τῷ δράκοντι τὸν Θάνατον ἐν τῷ τάφῳ φέροντα δρέπανον μέγα ὃ καὶ πλησιάζει τῷ τραχήλῳ τοῦ γέροντος καὶ ἕλκει πρὸς ἑαυτόν· γράψον δὲ καὶ ταῦτα πέριξ τοῦ τροχοῦ τοῦ μεγάλου ἐγγὺς τοῖς στόμασι τῶν εἰκονιζομένων· εἰς μὲν τοῦ παιδίου ταῦτα· *ἄρα καὶ πότε διαβὰς ἀνέλθω εἰς τὰ ἄνω;* εἰς δὲ τοῦ παιδός· *στρέφου, ὦ χρόνε, τῇ σπουδῇ ὅπως τάχει ἀνέλθω·* εἰς δὲ τὸ μειράκιον ταῦτα· *ἰδοὺ ἐγγὺς ἐλήλυθα κάθησαι εἰς τὸν θρόνον·* εἰς δὲ τὸν νεανίσκον *ποῖος ὑπάρχει ὡς ἐμὲ καὶ τὶς ὑπέρτερός μου;* εἰς τὸν ἄνδρα, *ἄρα, ὦ χρόνε, ὡς ὁρῶ παρῆλθεν ἡ νεότης·* εἰς τὸν πρεσβύτην *ἆ πῶς ἐμὲ τὸν δύστηνον ἠπάτησας, ὦ κόσμε·* εἰς τὸν γέροντα· *βαβαὶ βαβαί, ὦ θάνατε τίς δύναται φυγεῖν σε;* εἰς δὲ τὸν τάφον *ὁ παμφάγος ᾅδης καὶ θάνατος* εἰς δὲ τὸν καταπινόμενον παρὰ τοῦ δράκοντος ταῦτα· *οὐαί, καὶ τίς με ῥύσεται ἐκ τοῦ παμφάγου ᾅδου.* Ποίησον δὲ ἐκ δεξιῶν τοῦ χρόνου καὶ ἐξ ἀριστερῶν δύο ἀγγέλους ἔχοντας εἰς τὰς κεφαλὰς αὐτῶν ἡμιώριον καὶ περιστρέφοντας τὸν τροχὸν διὰ σχοινίων· καὶ εἰς μὲν τὸν δεξιὸν ἄγγελον γράψον *ἡμέρα·* εἰς δὲ τὸν ἀριστερὸν *νύξ·* ἄνωθεν τοῦ τροχοῦ γράψον ταύτην τὴν ἐπιγραφήν· *ὁ μάταιος βίος τοῦ πλάνου κόσμου.*



✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠✠

ΜΕΡΟΣ ΤΕΤΑΡΤΟΝ

ΠΕΡΙ ΤΗΣ ΕΝ ΓΕΝΕΙ ΔΙΑΤΑΞΕΩΣ ΚΑΙ ΔΙΑΘΕΣΕΩΣ ΤΩΝ ΕΙΚΟΝΩΝ ΕΝ ΤΗ ΕΚΚΛΗΣΙΑ.

Καὶ πρῶτον περὶ τοῦ πῶς δεῖ διαγράφειν τὴν φιαλόεσσαν ἐκκλησίαν.

§ **528.** Ὅταν πρόκηται ἵνα φιαλόεσσαν ἐκκλησίαν διαγράψῃς. κατὰ πρῶτον γράψον πέριξ τοῦ ὀμφαλοῦ τῆς ὑπερτάτης φιάλης κύκλον βαφαῖς ποικίλαις τόξῳ ὅμοιον τῷ ἐν καιρῷ βροχῆς φαινομένῳ· ἐν τῷ κύκλῳ δὲ τὸν Ἰησοῦν Χριστὸν εὐλογοῦντα διὰ τῆς δεξιᾶς· διὰ δὲ τῆς ἀριστερᾶς φέροντα εὐαγγέλιον ἐπὶ τοῦ στήθους· γράψον δὲ καὶ ταύτην τὴν ἐπιγραφὴν ΙΗΣΟΥΣ ΧΡΙΣΤΟΣ Ο ΠΑΝΤΟΚΡΑΤΩΡ. Τοῦ κύκλου δὲ πέριξ τὰ Χερουβεὶμ καὶ τοὺς θρόνους καὶ ταύτην τὴν ἐπιγραφὴν «*ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἔστι Θεὸς πλὴν ἐμοῦ· ἐγὼ ἐποίησα γῆν καὶ ἄνθρωπον ἐπ' αὐτῆς ἐγὼ τῇ χειρί μου ἐστερέωσα τὸν οὐρανὸν* » Δευτερ. λϐ'. Ἠσαΐας). Τοῦ παντοκράτορος δὲ κάτωθεν πέριξ τῆς φιάλης τὰ λοιπὰ τῶν ἁγίων ἀγγέλων τάγματα· καὶ ἐν τῷ μέσῳ αὐτῶν κατ' ἀνατολὰς τὴν Παναγίαν, ἔχουσαν ἡπλωμένας τὰς χεῖρας πρὸς τὸ ἓν καὶ ἄλλο μέρος ἔχουσα ὑποπόδιον καὶ ταύτην τὴν ἐπιγραφὴν ΜΗΤΗΡ ΘΕΟΥ Η ΚΥΡΙΑ ΤΩΝ ΑΓΓΕΛΩΝ. Ἀντίον δὲ τῆς Θεοτόκου Δυτικὰ διάγραψον τὸν Πρόδρομον. Κατωτέρω δὲ τοὺς προφήτας ἐν ἄλλῳ χορῷ, καὶ τῶν προφητῶν κάτωθεν πέριξ τῆς φιάλης ταῦτα· « *Τὸ στερέωμα τῶν ἐπὶ σοὶ πεποιθότων, στερέωσον Κύριε τὴν ἐκκλησίαν, ἣν ἐκτήσω τῷ τιμίῳ σου αἵματι* »· εἰς δὲ τὰς γωνίας τῶν ἀψίδων τοὺς τέσσαρας εὐαγγελιστάς· καὶ μεταξὺ τῶν δύο κατ' Ἀνατολὰς εὐαγγελιστῶν, τὸ ἅγιον *μανδύλιον*

ἀντίον δὲ αὐτοῦ μεταξὺ τῶν λοιπῶν δύω τὸ ἅγιον *Κεράμιον*· δεξιὰ δὲ μεταξὺ τῶν εὐαγγελιστῶν, τὸν Ἰησοῦν Χριστὸν φέροντα εὐαγγέλιον ἀνεῳγμένον, ἐν ᾧ ἀναγινώσκονται ταῦτα· *Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα*· ἀριστερὰ δὲ τὸν Ἐμμανουὴλ φέροντα ἐπιγραφὴν ἐν ᾗ ὑπάρχει· *Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ ἕνεκεν ἔχρισέ με*· ἐκ τῶν τεσσάρων δὲ τούτων εἰκόνων παραστάσεων γράψον κλάδους κλημάτων ἐξερχομένων ἐξ αὐτῶν ληγόντων ἐπὶ τοῦ ὑποποδίου τῶν εὐαγγελιστῶν ἑλικοειδῶς· μεταξὺ δὲ τῶν κλάδων τῆς ἀμπέλου καὶ τοὺς λοιποὺς ἀποστόλους, ἐντὸς δὲ τοῦ κύκλου ἑκάστης ἀψῖδος γράψον ἀνὰ τρεῖς προφήτας φέροντας εἰς χεῖρας τὰς ἑαυτῶν ἁρμοζούσας προφητείας ὡς ἐπιγραφάς· διὰ τὰς ὑπ' αὐτῶν δεικνυομένας κάτωθεν ἑορτάς· (ἴδε § **135** καὶ **136**).

Ἀρχὴ τῆς πρώτης τάξεως.

§ **529.** Ἔνδον τοῦ ἱεροῦ βήματος κάτωθεν τῶν προφητῶν τῶν ἄνωθεν καὶ τῆς ἀνατολικῆς ἀψῖδος κατὰ μέσον γράψον τὴν Παναγίαν καθημένην ἐπὶ θρόνου, καὶ φέρουσαν ὡς βρέφος τὸν Ἰησοῦν Χριστὸν καὶ ἐπὶ κεφαλῆς ταύτην τὴν ἐπιγραφὴν ΜΗΤΗΡ ΘΕΟΥ Η ΥΨΗΛΟΤΕΡΑ ΤΩΝ ΟΥΡΑΝΩΝ· ἐξ ἑνὸς δὲ καὶ ἄλλου μέρους τοὺς δύο Ταξιάρχας Μιχαὴλ καὶ Γαβριὴλ πρεσβείαν ποιοῦντας. Μετὰ δὲ γράφε ἐκ τοῦ ἀριστεροῦ μέρους τῆς Θεοτόκου ἀρχόμενος, τὰς δώδεκα δεσποτικὰς ἑορτάς, τὰ ἅγια Πάθη, καὶ τὰ μετὰ τὴν Ἀνάστασιν τοῦ Κυρίου Θαύματα· ταῦτα δὲ πέριξ τοῦ ναοῦ διάγραφε τῶν προφητῶν καὶ κάτωθεν μέχρι τοῦ δεξιοῦ τῆς ὑψηλοτέρας μέρους.

Τοιουτοτρόπως διαγραφομένη ἡ πρώτη τάξις λαμβάνει τέλος.

Ἀρχὴ τῆς δευτέρας τάξεως.

§ **530.** Κατωτέρω τῆς ὑψηλοτέρας γράψον τὴν θείαν λειτουργίαν (ἴδε § **311**). Ἔπειτα ποίησον ἀρχὴν τῶν ἔργων καὶ θαυμάτων τοῦ Κυρίου ἐξ ἀριστερῶν ἀρχόμενος τῆς θείας λειτουργίας καὶ λήγων ἐπὶ τῶν δεξιῶν αὐτῆς καὶ οὕτω λήγει καὶ ἡ δευτέρα τάξις. Ἐντὸς δὲ τῆς φιάλης τοῦ βήματος τῆς προσκομιδῆς γράψον

τὸν Ἰησοῦν ἐν ἀρχιερατικῇ στολῇ ἐπὶ νεφέλης καθήμενον εὐλογοῦντα καὶ φέροντα εὐαγγέλιον ἐν ᾧ ταῦτα ἐστὶ γεγραμμένα· *Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός*· καὶ τοῖς στεφάνοις κύκλῳ *Ἰησοῦς Χριστὸς ὁ μέγας ἀρχιερεύς*· τοῦ Ἰησοῦ δὲ πέριξ γράψον τὰ Χερουβεὶμ. καὶ τοὺς θρόνους· καὶ τοῦ κύκλου ἐκτὸς πέριξ τῆς φιάλης οἵους βούλει ἱεράρχας· κατωτέρω δὲ τὴν θυσίαν τοῦ Ἄβελ (ἴδε § **18** μέρ. 6')· τὴν θυσίαν τοῦ Μανωὲ (ἴδε § **70**. μέρος 6')· εἰς δὲ τὸ ἡμικύκλιον τῆς προσκομιδῆς τὴν *ἀποκαθήλωσιν*. Εἰς τὴν δευτέραν δὲ φιάλην τοῦ ἱεροῦ, γράψον τὴν Παναγίαν ἐντὸς κύκλου φέρουσαν ἐπὶ τοῦ στήθους τὸν Κύριον ἡμῶν, τὰς δὲ χεῖρας ἐκτεινομένας ἔχουσαν πρὸς τὸ ἓν καὶ ἄλλο μέρος καὶ πέριξ ταύτην τὴν ἐπιγραφὴν **ΜΗΤΗΡ ΘΕΟΥ Η ΠΛΑΤΥΤΕΡΑ ΤΩΝ ΟΥΡΑΝΩΝ**· καὶ τοῦ κύκλου πέριξ οἵους βούλει ἱεράρχας· κατωτέρω δὲ αὐτῶν τὸν Μωϋσῆν βλέποντα τὴν βάτον καιομένην (ἴδε § **47** μέρ. 6')· τοὺς τρεῖς παῖδας ἐν τῇ καμίνῳ (ἴδε § **116** μέρ. 6')· τὸν Δανιὴλ ἐν τῷ λάκκῳ τῶν λεόντων (ἴδε § **122**. μέρος 6')· τὴν φιλοξενίαν τοῦ Ἀβραὰμ (ἴδε §. **34** μέρ. 6')· ἔξωθεν δὲ τοῦ βήματος ἐπὶ τῶν τεσσάρων σταυροστοῶν, ταῦτα γράψον· εἰς τὴν πρώτην ἄνω τὸ τῶν διακονικῶν τὸν τῆς μεγάλης βουλῆς ἄγγελον ἐν νεφέλῃ φερόμενον παρὰ τεσσάρων ἀγγέλων καὶ λέγοντα· *ἐγὼ ἐκ τοῦ Θεοῦ ἐξῆλθον καὶ ἥκω· οὐ δὲ γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα ἀλλ' ἐκεῖνος ἀπεστάλκέ με*· γράψον δὲ καὶ ταύτην τὴν ἐπιγραφὴν *Ἰησοῦς Χριστὸς ὁ μεγάλης βουλῆς ἄγγελος*. Εἰς δὲ τὴν δευτέραν τὸν Ἐμμανουὴλ ἐπὶ νεφέλης, λέγοντα δι' ἐπιγραφῆς· *Πνεῦμα Κυρίου ἐπ' ἐμὲ οὗ ἕνεκεν ἔχρισέ με* εἰς δὲ τὰ τέσσαρα μέρη τῆς νεφέλης γράψον τοὺς τετραμόρφους εὐαγγελιστάς· εἰς τὴν τρίτην δὲ σταυροστοὰν τὸν ἀρχάγγελον Μιχαὴλ φέροντα διὰ μὲν τῆς δεξιᾶς σπάθην, διὰ δὲ τῆς ἀριστερᾶς ἐπιγραφήν, ἐν ᾗ ταῦτα:

Τοῖς μὴ καθαραῖς προστρέχουσι καρδίαις
Ἐν τῷ καθαρῷ τοῦ Θεοῦ δόμῳ
Ἀσυμπαθῶς μου τὴν σπάθην ἐκτείνω.

Εἰς δὲ τὴν τετάρτην σταυροστοάν, τὸν Πρόδρομον ἐπὶ νεφέλης

εὐλογοῦντα διὰ τῆς δεξιᾶς καὶ φέροντα διὰ τῆς ἄλλης σταυρὸν καὶ ἐπιγραφὴν ἐν ᾗ ταῦτα· *Μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν*· ὑπὸ δὲ τοῦ τῆς μεγάλης βουλῆς ἀγγέλου τὸν Μωϋσῆν φέροντα τὰς πλάκας τοῦ νόμου, καὶ τὸν Ἀαρὼν τὴν στάμνον τὴν χρυσῆν καὶ τὴν ἀνθήσασαν ῥάβδον ἐν στολῇ ἀρχιερατικῇ σὺν μήτρᾳ καὶ οἱ δύο, καὶ τὸν Νῶε φέροντα τὴν κιβωτόν· καὶ τὸν Δανιὴλ φέροντα χάρτην· ὑπὸ δὲ τοῦ Ἐμμανουὴλ τὸν προφήτην Σαμουὴλ φέροντα τὸ κέρας τοῦ ἐλαίου καὶ τὸ θυμιατόν· καὶ τὸν Μελχισεδὲκ φέροντα ἐπὶ δίσκου τοὺς τρεῖς ἄρτους, καὶ τὸν προφήτην Ζαχαρίαν τὸν πατέρα τοῦ Προδρόμου φέροντα θυμιατὸν ἐνδεδυμένοι καὶ οὗτοι τὴν ἀρχιερατικὴν στολὴν κατὰ τὴν τάξιν τὴν παρὰ τοῖς ἑβραίοις· καὶ τὸν δίκαιον Ἰὼβ κορωνοφοροῦντα καὶ λέγοντα ἐν ἐπιγραφῇ· *εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος*· ὑπὸ δὲ τοῦ ἀρχαγγέλου Μιχαὴλ καὶ τοῦ Προδρόμου τοὺς δώδεκα ἀποστόλους (ἴδε § **484** μέρ. β')· κατ' ἀνατολὰς δὲ ἐπικεφαλῆς τῶν δύο στηλῶν γράψον τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου (ἴδε § **161** μέρ. β')· ὄπισθεν τῆς Παναγίας τὸν Προφητάνακτα Δαυὶδ λέγοντα· *Ἄκουσον θύγατερ καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου κτλ.*· τοῦ ἀγγέλου δὲ ὄπισθεν τὸν Ἠσαΐαν δακτυλοδεικτοῦντα τὴν Θεοτόκον καὶ λέγοντα δι' ἐπιγραφῆς· *Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱὸν καὶ καλέσουσι κτλ.* ἐπὶ δὲ τῶν κιονοκράνων γράψον ταῦτα, εἰς τὸ πρῶτον· *Τοῦτον τὸν οἶκον ὁ πατὴρ ᾠκοδόμησεν*· εἰς τὸν δεύτερον· *Τοῦτον τὸν οἶκον ὁ υἱὸς ἐστερέωσεν*· εἰς τὸ τρίτον· *Τοῦτον τὸν οἶκον τὸ πνεῦμα τὸ ἅγιον ἀνεκαίνισεν*· εἰς δὲ τὸ τέταρτον· *Τριὰς ἁγία δόξα σοι.*

Ἀρχὴ τῆς τρίτης τάξεως.

§ **531.** Ἔσωθεν τοῦ βήματος, κάτωθεν τῆς θείας λειτουργίας γράψον τὴν μετάδοσιν τοῦ κυριακοῦ σώματος καὶ αἵματος (ἴδε § **312** μέρ. β')· ἀπὸ δὲ τοῦ δεξιοῦ μέρους τῆς μεταδόσεως μέχρι τοῦ εἰκονοστασίου τὰ Εἰσόδια τῆς Θεοτόκου (ἴδε § **352** μέρ.

β')· τὸν Μωϋσῆν καὶ Ἀαρὼν λειτουργοῦντα ἐν τῇ σκηνῇ (ἴδε § 60 μέρ. β')· ἐξ ἀριστερῶν δὲ τῆς μεταδόσεως, τὴν κλίμακα τοῦ Ἰακὼβ (ἴδε § 38 μέρ. β'). τὴν κιβωτὸν φερομένην εἰς Ἱερουσαλὴμ (ἴδε § 81 μέρ. β')· ταῦτα δὲ πάντα ἐντὸς τοῦ βήματος γράφονται, ἔξωθεν δὲ τοῦ βήματος πέριξ τοῦ ναοῦ τὰς ἐκλεκτοτέρας εἰκόνισον παραβολὰς τοῦ Κυρίου (ἴδε § 271 μέρ. β')· τὴν ὕψωσιν τοῦ Σταυροῦ (ἴδε § 405 μέρ. γ')· τὴν ἀναστήλωσιν τῶν εἰκόνων (ἴδε § 413 μέρ. γ')· ἀντίον δὲ τοῦ εἰκονοστασίου τῆς πύλης τοῦ ναοῦ ἄνωθεν τὴν κοίμησιν εἰκόνισον τῆς Θεοτόκου (ἴδε § 354 μέρ. β')· καὶ τὰς λοιπὰς θεομητορικὰς ἑορτὰς πέριξ· καὶ οὕτω λαμβάνει καὶ ἡ τρίτη τάξις τέλος.

Ἀρχὴ τῆς τετάρτης τάξεως.

§ 532. Ὑπὸ δὲ τὴν τρίτην τάξιν πέριξ ὅλου τοῦ ναοῦ καὶ τοῦ ἱεροῦ γράψον ἐντὸς κύκλων ἁγίους, ἐντὸς μὲν τοῦ ἱεροῦ ἱεράρχας, ἐντὸς δὲ τῶν χορῶν μάρτυρας καὶ πέριξ ἐξ ἑνὸς καὶ ἄλλου μέρους τοῦ ναοῦ ὁσίους καὶ ποιητὰς οἵους βούλει.

Ἀρχὴ τῆς πέμπτης τάξεως.

§ 533. Ὑπὸ τὴν τετάρτην δὲ τάξιν ἐντὸς τοῦ ἱεροῦ κύκλῳ τῆς ἁγίας τραπέζης εἰκόνισον τοὺς ἁγίους ἱεράρχας ἐκ δεξιῶν μὲν τὸν ἅγιον Βασίλειον ἐξ ἀριστερῶν δὲ τὸν ἅγιον Χρυσόστομον καὶ οὕτω καθ' ἑξῆς τοὺς ἐπισήμους ἱεράρχας φέροντας ἐν ταῖς χερσὶν αὐτῶν καὶ τὰ ἐπιγράμματα αὐτῶν (ἴδε § 386 μέρ. γ')· πλησίον δὲ τῆς προσκομιδῆς εἰκόνισον τὸν ἅγιον Πέτρον Ἀλεξανδρείας φέροντα ἐπιγραφὴν τοιαύτην· *Τίς σου τὸν χιτῶνα Σῶτερ διεῖλε;* καὶ κατὰ μέτωπον αὐτοῦ τὴν ἁγίαν τράπεζαν καὶ ἐπ' αὐτῆς τὸν Σωτῆρα Χριστὸν ὡς βρέφος ἐνδεδυμένον σχισμένον χιτῶνα εὐλογοῦντα καὶ ἀποκρινόμενον τῷ Πέτρῳ· *Ἄρειος ὁ ἄφρων καὶ παγκάκιστος Πέτρε.* Ἐν δὲ ταῖς στοαῖς τοῦ ἱεροῦ τοὺς ἁγίους διακόνους εἰκόνισον (ἴδε § 387 μέρ. γ')· ἔξωθεν δὲ εἰς τοὺς τροχοὺς ποίησον τοὺς μεγαλομάρτυρας· ἐκ δεξιῶν μὲν τὸν ἅγιον Γεώργιον, ἐξ

ἀριστερῶν δὲ τὸν ἅγιον Δημήτριον καὶ τοὺς λοιποὺς κατὰ τάξιν (ἴδε § 388 μέρ. γ')· μετὰ δὲ τοὺς ἁγίους ἀναργύρους (ἴδε § 374 μέρ. γ')· τὸν ἅγιον Κωνσταντῖνον σὺν τῇ μητρὶ αὐτοῦ Ἑλένῃ φέροντες ἀμφότεροι τὸν σταυρὸν τοῦ Κυρίου· κάτωθεν δὲ τῆς εἰκονικῆς κοιμήσεως τῆς παραστάσεως τῆς Θεοτόκου γράψον τὸν ὅσιον Ἀντώνιον πρὸς τὰ δεξιὰ καὶ τὸν ὅσιον Εὐθύμιον πρὸς τὰ ἀριστερὰ τοὺς δὲ λοιποὺς ὁσίους κατὰ τὴν τάξιν καθὼς καὶ τοὺς ποιητὰς φέροντας ἅπαντας τὰς ῥήσεις καὶ ἀποφθέγματα ἐν ταῖς ἐπιγραφαῖς (ἴδε § 387 καὶ 399 μέρ. γ')· ἔσωθεν δὲ τῆς πύλης τοῦ ναοῦ πρὸς τὸ δεξιὸν μέρος γράψον τὸν ἀρχιστράτηγον τοῦ Κυρίου Μιχαὴλ φέροντα σπάθην καὶ ἐπιγραφὴν ἐν ᾗ ταῦτα.

Θεοῦ στρατηγὸς εἰμὶ τὴν σπάθην φέρων
καὶ τοὺς ἐνταῦθα εἰσιόντας ἐν φόβῳ
φρουρῶ, προμαχῶ, ὑπερμαχῶ καὶ σκέπω.
τοὺς δὲ καρδίᾳ ῥυπαρᾷ εἰσιόντας,
πικρῶς ἐκτέμνω ἐν τῇ ῥομφαίᾳ τῇ δε.

Πρὸς δὲ τὸ ἀριστερὸν τὸν ἀρχάγγελον Γαβριὴλ γράφοντα διὰ γραφίδος ταῦτα.

Ὀξυγράφου κάλαμον τῇ χειρὶ φέρων
Τῶν εἰσιόντων συνταγὰς ἀπογράφω,
Φρουρῶ στέργοντας, εἰδὲ μὴ φθείρω τάχει.

Ὑπὲρ τὴν πύλην δὲ τοῦ ναοῦ, εἰκόνισον τὸν Σωτῆρα ἡμῶν ἐν ἡλικίᾳ βρέφους τριετοῦς κοιμώμενον ἐπὶ πετρῶν καὶ χαμοκλάδων κλίνοντα τὴν κεφαλὴν αὐτοῦ ἐπὶ τῆς δεξιᾶς χειρός· τὴν δὲ Παντάνασσαν καὶ μητέρα τοῦ Θεοῦ ἱσταμένην ἔμπροσθεν τοῦ Σωτῆρος ἐν εὐλαβείᾳ· καὶ κύκλῳ τοῦ κοιμωμένου ἀγγέλων πληθὺς σκιαζόντων διὰ τῶν πτερύγων τὸν κοιμώμενον· ὑπὸ δὲ γράψον ταῦτα.

«Ἱστορήθη ὁ παρὼν θεῖος καὶ ἱερώτατος ναὸς τῆς θείας καὶ ἱερᾶς »μονῆς (Δ) διὰ συνδρομῆς καὶ δαπάνης (Δ) ἐν ἔτει....

Περὶ τοῦ πῶς δεῖ τὸν νάρθηκα τοῦ ναοῦ διαγράφειν.

§ 524. Ἀνίσως ὁ διαγραφόμενος νάρθηξ ἔχει φιάλας δύο εἰς

μὲν τὴν μίαν γράψον κύκλον καὶ ἐν αὐτῷ τὸν σωτῆρα σὺν τοῖς τάγμασι τῶν ἀγγέλων καὶ πέριξ τὰ λοιπὰ τῶν ἁγίων τάγματα ὡς περιγράφονται ἐν τῷ *Πᾶσα πνοὴ* (ἴδε § **313** μέρος β')· εἰς δὲ τὴν ἄλλην γράψον τὸ *Ἄνωθεν οἱ προφῆται* ἤτοι τὴν Θεοτόκον μεταξὺ νεφελῶν καὶ ἀστέρων φέροντες ἐν ἀγκάλαις τὸν Σωτῆρα κτλ. (ἴδε § **357** μέρ. β')· ἐπὶ δὲ τῶν γωνιῶν τοὺς ἀκολούθους ποιητὰς καθημένους ἐπὶ θρόνων· καὶ εἰς μὲν τὰς γωνίας τῆς δεξιᾶς φιάλης ἔνθα τὸ *Πᾶσα πνοὴ* διεγράφη γράψον τὸν Δαμασκηνὸν Ἰωάννην γράφοντα· *Τὸν πρὸ αἰώνων ἐκ πατρὸς γεννηθέντα τὸν Θεὸν Λόγον σαρκωθέντα ἐκ Παρθένου Μαρίας κτλ.* Τὸν Κοσμᾶν γράφοντα· *Εἰκὼν ἀπαράλλακτε, τοῦ ὄντος ἀκίνητε σφραγὶς ἀναλλοίωτε, Υἱὲ καὶ Λόγε τοῦ Θεοῦ καὶ βραχίων δεξιὰ ὑψίστου σθένους σὲ ἀνυμνοῦμεν σὺν πατρὶ καὶ τῷ πνεύματι.* Τὸν ἅγιον Ἀνατόλιον γράφοντα· *Εὐφράνθητε οὐρανοί, σαλεύθητε τὰ θεμέλια τῆς γῆς, βοήσατε τὰ ὄρη εὐφροσύνης· ἰδοὺ γὰρ ὁ Ἐμμανουὴλ τὰς ἁμαρτίας.* Τὸν ἅγιον Κυπριανὸν γράφοντα· *Θαυμαστὸς εἶ ὁ Θεὸς ἡμῶν καὶ θαυμαστὰ τὰ ἔργα σου, καὶ αἱ ὁδοί σου ἀνεξιχνίαστοι· πέλεις γὰρ σοφία τοῦ Θεοῦ καὶ ἀπόστασις τελεία, καὶ δύναμις συνάναρχός τε καὶ συναΐδιος.* Ἐπὶ δὲ τῶν ἀριστερῶν ἔνθα τὸ *Ἄνωθεν οἱ προφῆται.* Τὸν ἅγιον Μητροφάνην γράφοντα· *Ῥήσεις προφητῶν διάγραψον ἄχραντε τὸν σὸν τόκον τὸν ἀπόῤῥητον καὶ δυσερμήνευτον, ὃν ἡμεῖς ἐγνώκαμεν μυσταγωγὸν τῆς ἑνιαίας καὶ τρισηλίου Θεότητος κτλ.* Τὸν ἅγιον Ἰωσὴφ γράφοντα· *Οὐρανὸν ὁ τανύσας βουλήμασι οὐρανὸν ἄλλον ἐπίγειον ἐπλάτυνε σὲ Θεομήτωρ ἄχραντε καὶ ἐκ σοῦ ἀνατείλας ἐπέφανε.* Τὸν ἅγιον Θεοφάνην γράφοντα· *Ῥήσεσιν ἑπόμενοι τῶν θεηγόρων πανάμωμε, Θεοτόκον φρονοῦμεν σε, Θεὸν γὰρ ἐγέννησας σεσαρκωμένον.* Τὸν ἅγιον Ἀνδρέαν γράφοντα· *Ἀσπόρου συλλήψεως ὁ τόκος ἀνερμήνευτος κτλ.* ὑπὸ δὲ ἐν ταῖς σταυροστοαῖς γράψον τὰ χωροῦντα μαρτύρια τοῦ ἐνιαυτοῦ. Πέριξ δὲ τοῦ νάρθηκος τοὺς ΚΔ'· οἴκους τῆς Θεοτόκου (ἴδε § **361** μέρ. β')· ἄνωθεν τῆς πύλης ἐν τῇ εἰσόδῳ τοῦ ναοῦ τὸν Κύριον ἡμῶν ἐπὶ

θρόνου φέρων εὐαγγέλιον ἀνεῳγμένον, ἐν ᾧ ταῦτα ἀναγινώσκονται· *Ἐγώ εἰμι ἡ θύρα, δι' ἐμοῦ, ἐάν τις εἰσέλθῃ σωθήσεται* κτλ. ἐκ δεξιῶν δὲ τοῦ Σωτῆρος τὴν Θεοτόκον καὶ ἐξ ἀριστερῶν τὸν Πρόδρομον πρεσβείαν ποιοῦντος· κατέναντι δὲ τὰς ἑπτὰ ἁγίας οἰκουμενικὰς Συνόδους (ἴδε § **406—412** μέρ. γ΄)· εἰς δὲ τὸν δεξιὸν χορὸν γράψον τὴν ῥίζαν τοῦ Ἰεσσαὶ (ἴδε § **149** μέρ. β΄)· καὶ τὴν παράβασιν καὶ ἐξορίαν τοῦ Ἀδὰμ (ἴδε **10—11** μέρ. β΄)· καὶ ἄλλα τινὰ ἐκ τοῦ εὐαγγελίου (ἴδε § **271** μέρ. β΄)· καὶ τὴν οὐρανόδρομον κλίμακα (ἴδε § **523** μέρ. γ΄)· ὑπὸ δὲ ὁσίους καὶ ποιητὰς οἵους βούλει· ἐν δὲ τοῖς χοροῖς τοῦ καθολικοῦ κάτωθεν τῶν τάξεων γράψον τὸ σύμβολον τῆς πίτεως ἐν τῷ δεξιῷ (ἴδε §. . . .)· ἐν δὲ τῷ ἀριστερῷ τὴν κυριακὴν προσευχήν.

Πῶς δεῖ διαγράφειν τὴν φιάλην.

§ **535.** Εἰς τὸν ἀνώτατον τῆς φιάλης ὀμφαλὸν διάγραψον οὐρανὸν καὶ τὰ τοῦ οὐρανοῦ ἥλιον σελήνην καὶ ἀστέρας· τοῦ οὐρανοῦ δὲ πέριξ γράψον τὴν ἐν καιρῷ βροχῆς φαινομένην δόξαν καὶ ἀγγέλων πλῆθος· μετὰ δὲ διάγραφε τὴν πρώτην τάξιν ἤτοι πάντα τὰ ἐν τῷ Ἰορδάνῃ ὑπὸ τοῦ Προδρόμου γενόμενα (ἴδε § **529** μέρ. γ΄)· κατ' ἀνατολὰς δὲ εἰκόνιζον τὴν βάπτισιν τοῦ Χριστοῦ καὶ ἀκτίνας κατερχομένας ἐκ τοῦ οὐρανοῦ ἐπὶ τῆς κεφαλῆς τοῦ βαπτιζομένου καὶ ἐν τῷ μέσῳ τῶν ἀκτίνων τὸ ἅγιον Πνεῦμα καταβαῖνον ὡς εἶδος περιστερᾶς· καὶ ταῦτα τὰ πατρικὰ λόγια· *Οὗτος ἐστὶν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα.* Ἐν μέσῳ τῶν ἀκτίνων καὶ ταῦτα· ταύτης δὲ τῆς τάξεως παρακτιῶν τὰ ἐκ τῆς παλαιᾶς διαθήκης προεικονίζοντα τὸ θεῖον Βάπτισμα οἷον τὴν εὕρεσιν τοῦ Μωϋσέως (ἴδε § **46** μέρ. β΄)· τὸν καταποντισμὸν τῶν Αἰγυπτίων (ἴδε § **56** μέρ. β΄.) τὸν Μωϋσῆν γλυκαίνοντα τὰ ὕδατα Μερρᾶς (ἴδε § **57** μέρ. β΄)· τὰς δώδεκα πληγὰς ὑδάτων καὶ ἑβδομήκοντα στελέχους φοινίκων (ἴδε § **57** (γρα. **58** μέρ. β΄)· τὸ ὕδωρ τῆς ἀντιλογίας (ἴδε § **61** μέρ. β΄)· τὴν διάβασιν τῆς Κιβωτοῦ διὰ

τοῦ Ἰορδάνου (ἴδε § 66 μέρ. β'). Τὸν Πόκον Γεδεὼν (ἴδε § 69 μέρ. β')· τὴν θυσίαν Ἠλιοῦ (ἴδε § 94 μέρ. β')· τὸν Ἠλίαν διαβαίνοντα τὸν Ἰορδάνην (ἴδε § 99 μέρος β')· τὸν Ἐλισσαῖον ἰώμενον τὰ ὕδατα (ἴδε § 102 μέρ. β')· τὸν Νεεμὰν λουόμενον ἐν τῷ Ἰορδάνῃ (ἴδε § 106 μέρος β')· τὸν Ἐλισσαῖον διαβαίνοντα διὰ ξηρᾶς τὸν Ἰορδάνην (ἴδε § 101 μέρ. β')· καὶ τὴν Ζωοδόχον πηγὴν (ἴδε § 356 μέρ. β')· ἐπὶ τῶν κιανοκράνων δὲ γράψον τοὺς ὅσους προφήτας προφήτευσαν τὴν Βάπτισιν τοῦ Κυρίου (ἴδε § 136 μέρος β').

Διαγραφὴ τραπέζης.

§ 536. Διαγράφων τράπεζαν, γράψον πρῶτον καὶ κατὰ μέσον τῆς στοᾶς, ἄνωθεν τῆς ἡγουμενικῆς τραπέζης· τὸν δεῖπνον τὸν μυστικὸν (ἴδε § 238 μέρ. β')· πρὸς τὰ δεξιὰ δὲ τὸν εὐαγγελισμὸν τῆς Θεοτόκου (ἴδε § 161 μέρος β')· ἀριστερὰ δὲ *Ἄξιον ἐστι* (ἴδε § 425 μέρ. γ')· πέριξ δὲ τῆς τραπέζης τὸν Χριστὸν συνεσθίοντα τοῖς τελώναις (ἴδε § 191 μέρ. β')· τοὺς ἀποστόλους τίλλοντας τοὺς ἀστάχεις (ἴδε § 196 μέρ. β')· τὸν Χριστὸν εὐλογοῦντα τοὺς πέντε ἄρτους (ἴδε § 201 μέρ. β')· τὴν φιλοξενίαν τῆς Μάρθας (ἴδε § 213 μέρ. β')· τὸν Χριστὸν εἰς Ἐμμαοὺς κλῶντα τὸν ἄρτον (ἴδε § 263 μέρ. β')· τὸν Χριστὸν τρώγοντα ἰχθύας ὀπτομένους (ἴδε § 264 μέρος β')· τὸν Χριστὸν ἐπὶ τὴν Τιβεριάδος θάλασσαν (ἴδε § 226 μέρ. β')· παραβολὰς δέ, οἵας βούλει, τὰ θαύματα τοῦ ἁγίου τῆς Μονῆς, ἧς τὴν τράπεζαν διαγράφεις καὶ τὴν ἔκπτωσιν τοῦ Ἑωσφόρου (ἴδε § 6 μέρ. β')· καὶ οὕτω διαγράφεται ἡ πρώτη τάξις.

Ἀρχὴ τῆς β'. τάξεως.

§ 537. Ὑπὸ τὸν Μυστικὸν δεῖπνον γράψον τοὺς ἐπισήμους τῶν ἱεραρχῶν ἐν ὁσιωτικῇ στολῇ φέροντας ἐπιγράμματα ὁσιακά· καὶ πρῶτον τὸν ἅγιον Βασίλειον πρὸς τὰ δεξιὰ τοῦ Μυστικοῦ δεῖπνου λέγοντα· *Ψυχῆς τὸ κάλλος ἀσφαλῶς τηρητέον, τοῦτο Θεὸς ζητήσει ἐκ τοῦ βροτείου γένους.* Τὸν Θεολόγον Γρηγόριον λέγοντα· *Ποιμὴν λογικῆς ἐγκαταστὰς ἀγέλης, ἁπλοῦς, ταπεινός, εὐμενής, πραΰς· ἕως οὗ, γὰρ πληθύεις ἐν Κυρίῳ.* Τὸν ἅγιον Νικόλαον λέγοντα· *Εἷς Θεὸς πατὴρ λόγου ζῶντος, σοφίας ὑφεστώσης·* ἀριστερὰ δὲ τὸν Χρυσόστομον λέγοντα· *Τῶν πρὶν ἕκαστος εἴπερ*

ἐκστῇ σφαλμάτων σωθήσεται πᾶς ἐγγνῶναι γνησίως. Τὸν ἅγιον Ἀθανάσιον λέγοντα· *Ἕνα Θεὸν σεβόμεθα ἐν Τριάδι καὶ τρία πρόσωπα ἐν Μονάδι*· Τὸν ἅγιον Κύριλλον λέγοντα· *Οἱ τὰ ὅπλα τῆς νηστείας ῥίπτοντες ὑπὸ τῆς γαστριμαργίας σκανδαλίζονται, καὶ ὑπὸ τῆς πορνομοιχοῦ ἀναιροῦνται ἁμαρτίας*· ἔξωθεν δὲ τῆς χυβάδας τὸν ὅσιον Ἀντώνιον ἐστραμμένον πρὸς τὴν τράπεζαν, καὶ λέγοντα· *Μὴ ἀπατῶ, ὦ μοναχὲ χορτασία κοιλίας· ὑποταγὴ μετ' ἐγκρατείας ὑποτάσσει τοὺς δαίμονας*· ἐξ ἀριστερῶν δὲ τὸν ὅσιον Ἐφραὶμ ἐστραμμένον πρὸς τὴν τράπεζαν καὶ λέγοντα· *Ἡ σιωπῶσα καὶ δοξολογοῦσα καὶ εὐτάκτως διοικουμένη, ὑπὸ ἀγγέλων εὐφημεῖται, ἡ δὲ ἀργολογοῦσα καὶ ἀμέτρως σπαταλῶσα, ὑπὸ δαιμόνων ἀχρειοῦται*. Γράψον δὲ καὶ οἵους ἄλλους βούλει ὁσίους φέροντας ἐπιγράμματα. Πρὸς τὸ κάτω μέρος δὲ τῆς τραπέζης γράψον τὸν βίον τοῦ μοναχοῦ (ἴδε § 522 μέρ. β')· καὶ τὸν μάταιον βίον τοῦ ἀνθρώπου (ἴδε § 527 μέρ. β')· ἂν δὲ ἡ τράπεζα εἶναι μεγάλη καὶ σταυροειδής, γράψον καὶ τὴν Ἀποκάλυψιν Ἰωάννου τοῦ Θεολόγου (§ 314 μέρος β')· καὶ εἰς ἄλλο· ἔξωθεν δὲ τῆς τραπέζης ἐπὶ τῆς πύλης γράψον τὸν ἅγιον τῆς Μονῆς.

Πῶς δεῖ τὴν ὀμφαλόεσσαν διαγράφειν Ἐκκλησίαν.

§ 538. Τὴν ὀμφαλόεσσαν διαγράφων Ἐκκλησίαν· γράψον κατὰ μέσον τὸν Παντοκράτορα· πέριξ δὲ τοῦ Παντοκράτορος τὰ οὐράνια τῶν ἀγγέλων τάγματα· ἐπὶ δὲ τῶν γωνιῶν τοὺς Εὐαγγελιστάς, ἐν δὲ ταῖς στοαῖς τοὺς προφήτας καὶ προπάτορας οἵους βούλει· ἂν δὲ εἶναι μεγαλητέρα καὶ ἔχει ὀμφαλοὺς πέντε· εἰς μὲν τὸν μεσαῖον καὶ περιεκτικώτερον τῶν λοιπῶν τεσσάρων· γράψον τὸν Παντοκράτορα καθὼς καὶ εἰς τὴν φιαλόεσσαν εἰς δὲ τοὺς λοιποὺς ὀμφαλοὺς τὰ ἀκόλουθα· εἰς μὲν τὸν ἕνα, τὸν τῆς μεγάλης βουλῆς ἄγγελον· εἰς δὲ τὸν τρίτον τὸν Ἐμμανουήλ, εἰς δὲ τὸν τέταρτον, τὴν Παναγίαν φέρουσαν ἐν ἀγκάλαις τὸν σωτῆρα, καὶ εἰς τὸν πέμπτον τὸν Πρόδρομον· ἐπὶ δὲ τῶν στοῶν τοὺς Εὐαγγελιστάς, προφήτας καὶ προπάτορας, ἐπὶ δὲ τῆς λοιπῆς ἐπιφανείας τῶν τοιχίων τὰς δεσποτικὰς καὶ θεομητορικὰς ἑορτάς· τὰ ἅγια πάθη, τὰ θαύματα τοῦ ἁγίου τῆς Μονῆς, καὶ τὰ λοιπά, ὡς προερμηνεύθησαν.

Διαγραφὴ κοίλης Ἐκκλησίας.

§ 539. Κοίλην Ἐκκλησίαν διαγράφων κατὰ μέσον γράψον τὸν

Παντοκράτορα ἐντὸς κύκλου· ἄνω δὲ τοῦ εἰκονοστασίου ἀρχόμενος ἀπὸ τῆς Θεοτόκου καὶ λήγων ἐπὶ τοῦ Προδρόμου γράψον οὐρανόν, καὶ πλῆθος ἀγγέλων ἐν αὐτῷ· ἀμφοτέρωθεν δὲ τοῦ οὐρανοῦ γράψον τοὺς προπάτορας καὶ προφήτας ἐντὸς κύκλων. Τούτοις δὲ κατωτέρω διάγραφε τὴν Α'. τάξιν τῶν δεσποτικῶν ἑορτῶν, τὰ ἅγια πάθη, καὶ τὰ μετὰ τὴν Ἀνάστασιν θαύματα· καταμέσον δὲ τοῦ βήματος τὴν Πλατυτέραν. Τούτοις δὲ κατωτέρω γράψον τὴν Β'. τάξιν καθὼς καὶ εἰς τὴν φιαλόεσσαν· τοῦ βήματος δὲ ἐκτὸς τοὺς Εὐαγγελιστάς, καὶ τὰ θαύματα τοῦ ἁγίου τῆς Μονῆς, καὶ τὰ λοιπὰ ὡς καὶ εἰς τὴν φιαλόεσσαν.

Πόθεν τὰς ἁγίας εἰκόνας παρελάβομεν εἰκονίζειν ;

§ 540. Τὸ εἰκονίζειν τὰς ἁγίας εἰκόνας παρελάβομεν οὐ μόνον ἐκ τῶν πατέρων τῆς ἁγίας ἡμῶν Ἐκκλησίας καὶ τοὺς ἁγίους Ἀποστόλους· ἀλλὰ καὶ ἀπὸ αὐτὸν λέγω τὸν σωτῆρα τοῦ κόσμου Ἰησοῦν Χριστόν, ὡς καὶ προερρέθη ἐν ἀρχῇ τῆς συγγραφῆς ἡμῶν· ὅθεν καὶ τὸν μὲν σωτῆρα Χριστὸν εἰκονίζομεν ὡς ἄνθρωπον, ἐπειδή, καὶ ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη γενόμενος τέλειος ἄνθρωπος, ὅμοιος ἡμῖν πλὴν τῆς ἁμαρτίας (Βαροὺχ Γ'.). Εἰκονίζομεν δὲ καὶ τὸν ἄναρχον πατέρα ὡς γέροντα, ὡς ὤφθη τῷ Δανιὴλ (κεφ. Ζ'.) Τὸ δὲ Πνεῦμα τὸ ἅγιον εἰκονίζειν ὡς εἶδος περιστερᾶς, διότι καὶ οὕτως ἐφάνη ἐν τῷ Ἰορδάνῃ, ἔτι δὲ καὶ τὴν τῆς θεομήτορος εἰκόνα εἰκονίζομεν καθάπερ καὶ τῶν λοιπῶν ἁγίων, καὶ προσκυνοῦμεν αὐτὰς σχετικῶς καὶ οὐχὶ λατρευτικῶς· ἤγουν δὲν λέγομεν ὅτι αὐτὸς εἶναι ὁ Χριστός, ἢ Θεοτόκος, ἢ ὁ δεῖνα ἢ ὁ δεῖνα ἅγιος ἄπαγε ! ἀλλὰ προσκυνοῦμεν αὐτὰς σχετικῶς. Ἡ δὲ ἀπονεμομένη παρ' ἡμῶν τιμὴ εἰς ὅποιαν δήποτε εἰκόνα ἀναφέρεται εἰς τὸ πρωτότυπον, ἤγουν ἐὰν ἀσπαζώμεθα ἢ προσκυνῶμεν τὴν εἰκόνα τοῦ σωτῆρος τὴν προσκύνησιν καὶ τὸν ἀσπασμὸν ἀναφέρομεν εἰς αὐτὸν τὸν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος τὸν δι' ἡμᾶς γενόμενον ἄνθρωπον, δὲν προσκυνοῦμεν δὲ τὰ χρώματα ἢ τὴν τέχνην καὶ τὰ παρόμοια, ὡς οἱ εἰκο-

νομάχοι πρεσβεύουσιν· ἀλλὰ τὸν τύπον τοῦ Χριστοῦ τὸν εἰς οὐρανοὺς καθεζόμενον, *ἡ γὰρ τιμὴ τῆς εἰκόνος ἐπὶ τὸ πρωτότυπον διαβαίνει*· ὁπότε δὲ βλέπομεν τὴν εἰκόνα τῆς Θεοτόκου ἢ ὁποίου δήποτε ἄλλου εἰκονιζομένου ἁγίου οὐ λατρευτικῶς ἀλλὰ τιμητικῶς καὶ τυπικῶς προσκυνοῦμεν αὐτάς· ἱστοροῦμεν δὲ αὐτάς, ἵνα μὴ ἀμνημονῶμεν τὰς ἀρετὰς καὶ τοὺς ἀγῶνας τῶν εἰκονιζομένων καὶ πρὸ πάντων ἵνα καὶ ἡμεῖς οἱ προσκυνοῦντες αὐτὰς μεταβαίνωμεν εἰς οὐρανοὺς διὰ τοῦ νοὸς καὶ τὰς ἀρετὰς μιμηθῶμεν τῶν εἰκονιζομένων. Δικαίως λοιπὸν εἰκονίζομεν καὶ προσκυνοῦμεν τὰς ἁγίας εἰκόνας. Οἱ δὲ κατήγοροι καὶ βλάσφημοι ἀναθεματιζέσθωσαν.

Περὶ τοῦ χαρακτῆρος τοῦ Δεσποτικοῦ προσώπου καὶ σώματος ὡς παρέδωκαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται Γερμανοί.

§ **541**. Τὸ θεανδρικὸν σῶμά ἐστι τρίπηχυ μικρὸν ἐπικεκυφὸς καὶ τὸ τῆς πρᾳότητος ὑποφαῖνον· εὔοφρυ, καὶ τοῦτο συνδεδεμένον, εὐόφθαλμον, εὔρινον, σιτόχρουν, οὐλότριχον τὴν κεφαλὴν καὶ ξανθὴν ὀλίγον, μέλαν τὸ γένειον καὶ τοὺς δακτύλους τῶν ἀχράντων χειρῶν μακροτέρους συμμέτρως· καὶ ἁπλῶς ὡς ὁ τῆς τεκούσης χαρακτήρ, ἐξ ἧς ἔμψυχον ἑαυτῷ καὶ τελείαν τὴν ἀνθρωπότητα περιέπλασε.

Περὶ τοῦ χαρακτῆρος τῆς Θεοτόκου.

§ **542**. Ἡ ὑπεραγία Θεοτόκος, ἦν τῇ ἡλικίᾳ τρίπηχυς μακρόφρυς, μεσόρριν, μακρόλαιμος, μακροδάκτυλος, εὔστοχος, ταπεινή, ἀσχημάτιστος, ἀβλάκευτος, ἱμάτια αὐτόγραφα ἀγαπῶσα καὶ τοῦτο μαρτυρεῖ τὸ ἑαυτῆς, τὸ ὠμόφορον τὸ ἐν τῷ ναῷ αὐτῆς κείμενον.

Τίνι τρόπῳ τὴν εὐλογοῦσαν χεῖρα διαγράφειν δεῖ.

§ **543**. Εὐλογοῦσαν χεῖρα διαγράφων μὴ καὶ τὰ τρία ὁμοῦ δάκτυλα μιγνύῃς, ἀλλὰ τὸν μέγα δάκτυλον σὺν τῷ παραμέσῳ μόνον, διότι ὁ μὲν ὀρθὸς δάκτυλος ὁ λεγόμενος λιχανὸς καὶ τὸ

λύγισμα τοῦ μέσου δακτύλου τὸ ΙΣ (Ἰησοῦ) ὄνομα σημαίνουσι ἤγουν ὁ ὀρθὸς τὸ Ι καὶ ὁ καμπύλος τὸ Σ· ὁ δὲ μέγας δάκτυλος καὶ παράμεσος, ἑνούμενοι ἀλλήλοις, χιαστῷ τῷ τρόπῳ τὸ Χ στοιχεῖον εἰκονίζουσι· τὸ δὲ καμπύλωμα τοῦ μικροῦ δακτύλου τὸ στοιχεῖον Σ, ἤτοι τὴν λέξιν ΧΡΙΣΤΟΣ. Ὅθεν κατὰ πρόνοιαν τοῦ δημιουργοῦ οἱ δάκτυλοι τῆς ἀνθρωπίνης χειρὸς τοιουτοτρόπως φαίνεται ἐπλάσθησαν, ἵνα σχηματιζόμενοι, ὡς προερρέθη, τὸ ὄνομα τοῦ ΙΗΣΟΥ Χριστοῦ αὐτοῦ τοῦ ἰδίου δημιουργοῦ αὐτῶν κηρύττωσι οὐχὶ δὲ ὀλιγώτεροι ἀλλ' οὐδὲ περισσότεροι, ἀλλ' ὅσοι ἔπρεπεν, ἵνα τὸ ὄνομα τοῦ κυρίου τῆς γῆς, καὶ τῶν ἐν γῇ καὶ τῶν ἐν οὐρανῷ, καὶ πάντων τῶν ὁρατῶν καὶ ἀοράτων αὐτοῦ τοῦ σωτῆρος τοῦ ἀνθρωπίνου γένους φανερώσωσι.

Τὰ συνήθη ἐπιγράμματα τὰ εἰς τὴν ἁγίαν τριάδα ἀναφερόμενα.

§ 544. *Ὁ Ἄναρχος Πατὴρ — ὁ Παλαιὸς Ἡμερῶν — ὁ Συνάναρχος Υἱὸς — ὁ ΛΟΓΟΣ τοῦ Θεοῦ — Τὸ ἅγιον Πνεῦμα τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον — Ἡ ἁγία Τριάς, εἷς Θεὸς τῶν ὅλων*· εἰς δὲ τὸν σταυρὸν τὸν ἐν τοῖς στεφάνοις τῶν τριῶν προσώπων, Πατρός, Υἱοῦ, καὶ ἁγίου Πνεύματος γράφε ταῦτα: Ὁ ὬΝ. Οὕτω γὰρ εἶπεν ὁ Θεὸς τῷ Μωϋσῇ, ὅτε εἶδεν αὐτὸν ἐν τῇ βάτῳ, *ἐγώ εἰμι Ὁ ὬΝ*· γράφε δὲ αὐτὰ οὕτω. Τὸ μὲν Ο πρὸς τὸ δεξιὸν τοῦ στεφάνου μέρος. Τὸ δὲ Ω ἄνωθεν ἐν τῷ κέντρῳ τοῦ στεφάνου· τὸ δὲ Ν πρὸς τὸ ἀριστερόν.

Ἕτερα ἐπιγράμματα τῆς ἁγίας Τριάδος.

§ 545. Εἰκονίζων τὸν Πατέρα σὺν τῷ Υἱῷ καθημένους καὶ φέροντας ἐν ταῖς χερσὶν εὐαγγέλιον γράφε· εἰς μὲν τὸ τοῦ Πατρὸς

Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε·

ἕτερον· *Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.*

Εἰς δὲ τὸ τοῦ Υἱοῦ γράφε· *Πάτερ ἅγιε ἐγὼ σὲ ἐδόξασα ἐπὶ τῆς γῆς καὶ ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις*·

ἕτερον· *Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν· ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί.*

Τὰ ἐπίθετα, τὰ ἐπὶ τῆς εἰκόνος τοῦ Σωτῆρος γραφόμενα.

§ 546. *Ἰησοῦς Χριστός. — ὁ Παντοκράτωρ· — ὁ Ζωοδότης· — ὁ Σωτὴρ τοῦ κόσμου· — ὁ Ἐλεήμων· — ὁ Μεγάλης Βουλῆς Ἄγγελος· — ὁ Ἐμμανουήλ·* γράφων δὲ ἐσταυρωμένον ταῦτα, *ὁ Βασιλεὺς τῆς δόξης·*
ὁ Ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.
ἐπὶ τοῦ μανδυλίου δὲ, *τὸ ἅγιον Μανδύλιον·*
ἐπὶ δὲ τοῦ κεραμίου, *τὸ ἅγιον Κεράμιον.*

Τὰ ἐπὶ τῆς εἰκόνος τῆς Θεοτόκου γραφόμενα συνήθη ἐπίθετα.

§ 547. *Μήτηρ Θεοῦ· — ἡ Ἐλεοῦσα· — ἡ Ὁδηγήτρια· — ἡ Γοργοϋπήκοος· — ἡ Κυρία τῶν Ἀγγέλων· — ἡ Παντάνασσα·— Παράχραντος Δέσποινα· — ἡ Ὑψηλοτέρα τῶν οὐρανῶν· — ἡ Ζωοδόχος Πηγή· — ἡ Γλυκοφιλοῦσα· — ἡ Γαλακτοτροφοῦσα· — ἡ φοβερὰ Προστασία. — ἡ ἁμαρτωλῶν Σωτηρία· — ἡ Παραμυθία τῶν θλιβομένων — ἡ Πάντων χαρά· — ἡ Πορταΐτισσα τῶν Ἰβήρων· — ἡ Μεγάλη Σπηλαιότισσα — ἡ Τριχεροῦσα Ἰωάννου τοῦ Δαμασκηνοῦ.*

Τὰ ἐν τῷ εὐαγγελίῳ κατὰ τόπον ἐπιγράμματα τοῦ Σωτῆρος.

§ 548. Εἰς τὸν Παντοκράτορα· «*Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσει ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς.*»

Εἰς τὸν Ζωοδότην· «*Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου ζήσεται εἰς τὸν αἰῶνα.*»

Εἰς τὸν μεγάλης βουλῆς Ἄγγελον. *Ἐγὼ ἐκ τοῦ Θεοῦ ἐξῆλθον καὶ ἥκω· οὐ δὲ γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα, ἀλλ' ἐκεῖνος.*

Εἰς τὸν Ἐμμανουήλ. *Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ ἕνεκεν ἔχρισέ με· εὐαγγελίσασθαι πτωχοῖς ἀπεσταλκέ με.*

Ἐν ἀρχιερατικῇ στολῇ γραφόμενον. *Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· ὁ μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμήν.*

Ἐν τῇ συνάξει τῶν Ἀσωμάτων γραφόμενον· *Ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα κτλ.*

Μεταξὺ προφητῶν· *Ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται.*

Μεταξὺ τῶν Ἀποστόλων· *Ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων κτλ.*

Μεταξὺ Ἱεραρχῶν· *Ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου· οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη.*

Μεταξὺ Μαρτύρων· *Ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.*

Μεταξὺ Ὁσίων· *Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι κἀγὼ ἀναπαύσω ὑμᾶς· ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ἐν ταῖς ψυχαῖς ὑμῶν.*

Μεταξὺ Ἀναργύρων· *Ἀσθενοῦντας θεραπεύσατε, λεπροὺς καθαρίζετε· δαιμόνια ἐκβάλλετε, δωρεὰν ἐλάβετε δωρεὰν δότε.*

Ἐπὶ θύρας γραφόμενον· *Ἐγώ εἰμι ἡ θύρα, δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ κτλ.*

Ἐντὸς κοιμητηρίου· *Ὁ πιστεύων εἰς ἐμὲ κἂν ἀποθάνῃ ζήσεται.*

Ἐπὶ δὲ τῆς εἰκόνος τοῦ μεγάλου Ἀρχιερέως· *Κύριε Κύριε ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ ἴδε καὶ ἐπίσκεψε τὴν ἄμπελον ταύτην καὶ κατάρτισαι αὐτήν, ἣν ἐφύτευσεν ἡ δεξιά σου.*



Ἐπιγράμματα ἃ οἱ Ἀρχάγγελοι τοῦ Κυρίου φέρουσιν εἰκονιζόμενοι ἀμφοτέρων τῆς εἰκόνος τῆς Θεοτόκου τῆς προσαγορευμένης Ῥόδον τὸ Ἀμάραντον.

§ 549. Τὸ τοῦ Μιχαήλ· *Ὄρθος φαεινὸς χαῖρε ἡ μόνη.*
Τὸ τοῦ Γαβριήλ· *Στάχυν ἡ βλαστήσασα τὸν θεῖον.*
Ἐπιγραφὴ φερομένη καὶ παρὰ τῶν δύο· *Ῥόδον τὸ ἀμάραντον χαῖρε ἡ μόνη κτλ.*

Ἐπιγράμματα φερόμενα παρά τε τῆς Θεοτόκου καὶ τοῦ Προδρόμου εἰκονιζομένων ἑμφοτέρωθεν τοῦ Σωτῆρος.

§ 550. Τὸ τῆς Θεοτόκου ἐπίγραμμα:

Υἱὲ καὶ Θεοῦ ζῶντος, Λόγε Πατρός,
Ὁ ἐκφυής, νεύσεως Σῶτερ δίχα,
Αὐτῷ σε συνεύσει ἐξ ἐμοῦ, δι' ἐπ' σχάτων
Χρόνων σαρκωθείς, ὑπὲρ νοῦν
Σπορᾶς ἄνευ, Σῆς κλήσεως τὰς ἁμαρτίας ἄφες
Καὶ μητρικὰς πλήρωσον ἱκεσίας

Τὸ τοῦ Προδρόμου·

Κἀγὼ συνᾴδω δέσποτα τῇ μητρί σου
Φωνῇ φιλικῇ προδρομικῇ σου Λόγε,
Οὓς ἠγόρασας αἵματι τῷ τιμίῳ
Σταυρῷ κρεμασθεὶς καὶ σφαγεὶς ἀνευθύνως.
Τούτοις καταλλάγηθι δωρεὰν πάλιν.
Εὔσπλαχνε Λόγε, καὶ φιλανθρώπου τρόπου.

Ἕτερον ἐπίγραμμα εἰκονιζομένου μόνου.

Μετανοεῖτε ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν

Ἐπιγράμματα φερόμενα παρὰ τῶν ἱεραρχῶν.

§ 551. Εἶπεν ὁ Κύριος, οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

Ἕτερα διάφορα ἐπιγράμματα πρὸς διαφόρους ἁγίους εἰς τὸν Ἀπόστολον Πέτρον.

§ 552. Τὰς κλεῖς ἔχων σου τῶν ἀνοικτήρων λόγε,
Θαρρῶν ἀνοίγω πᾶσι τοῖς δεομένοις,
Ἐπεί με Χριστέ, σοῦ διαγράφω στόμα,
Ἔχω τὸ θάρρος, σῶσαι τὴν κληρουχίαν.

Εἰς τὸν ἀσπασμὸν Πέτρου καὶ Παύλου.

§ 553. Ποθῶν ὁ Πέτρος· τὴν σεβασμίαν θέσιν
Τοῦ συμμαθητοῦ πρὸς συνάντησιν τρέχει·
Ἰδὼν ὁ Παῦλος, ὅπερ ἐπόθει λίαν,
Χεῖρας ἐκτείνας δεξιοῦται τὸν φίλον.

Εἰς τὸν Ἐφραίμ.

§ 554. Σύρος μὲν Ἐφραίμ, ἀλλὰ γλῶσσα Ἀγγέλου.
Ὡς ἄγγελός τις φθέγγεται πρὸς ἀγγέλους,
Πρὸς οὓς ἐκεῖνος καὶ λαλεῖ ὡς ἡ γραφή.
Μονότροπος γὰρ ἄγγελος γῆς εἶναι πέπος.

Εἰς τοὺς ἁγίους Θεοδώρους.

§ 555. Στεφθέντες ἄμφω πρὸς Θεὸν θείου στέφους.
Δῶρα περιφέροντες εἰς θυμηδίαν.

Εἰς τὸν ὅσιον Ἀντώνιον.

§ 556. Ἀντώνιε πάνσοφε κλέος ἀζύγων
Φρούρει με καὶ δίωκε τὰ βέλη τῶν δαιμόνων
Τῶν τοξευόντων ἀναιδῶς τὴν ψυχήν μου.

Εἰς τὸν ὅσιον Ὀνούφριον.

§ 557. Μοναστῶν τὸ καύχημα Ὀνούφριε τρισμάκαρ
Αἴσταζε Χριστὸν ὑπὲρ ἡμῶν σῶν δούλων,
Κλίμαξ ἀερόβαθμος ἐξηριγμένος.
Ἡ πάντας διδάσκουσα πρὸς σωτηρίαν.

Εἰς τὸν Ἀρχάγγελον Μιχαήλ.

§ 558. Ἔφιππον ὁρᾶτε με οἱ προσιόντες,
Δίστομον κατέχοντας χειρὶ ῥομφαίαν,
Στίφη βαρβάρων ἐκδιώκω καὶ πλήττω

Ἐμοῦ δὲ ναοῦ ὑπάρχει Θεὸς μέγας
Τὸ δεινὸν αὐτῷ, ὅστις βουληθῇ πρᾶξαι·
Πατάξω τοῦτον τῇ ῥομφαίᾳ ἐν τάχει.

Ἕτεροι εἰς τὸν αὐτόν.

§ 559. Βροτοὶ βλέποντες τὸ ξίφος τεταμένον
Ὅσοι βέβηλοι, καὶ ῥάθυμοι τὸν τρόπον
Συσταλεῖτε πρὸς μετάνοιαν τάχει·
Εἰδὲ μὴ προψαύσητε τῇ θείᾳ πύλῃ,
Ἐγὼ γὰρ ὁ πρὶν παλαιᾶς προστάτης
Ταύτης δ' ἐτάχθην τῆς νέας Ἐδὲμ φύλαξ.

Ἐπιγραφαὶ τῶν θείων εἰκόνων τῶν ἐν τῷ εἰκονοστασίῳ τῶν καὶ ἀποστολικῶν προσαγορευομένων.

§ 560. *Ὁ Εὐαγγελισμὸς τῆς Θεοτόκου.* — *Ἡ γέννησις τοῦ Χριστοῦ.* — *Ἡ Ὑπαπαντή.* — *Ἡ Βάπτισις τοῦ Χριστοῦ.* — *Ἡ Ἀποκαθήλωσις.* — *Ὁ Ἐπιτάφιος θρῆνος.* — *Ἡ Ἀνάστασις τοῦ Χριστοῦ.* — *Ἡ ψηλάφησις τοῦ Θωμᾶ.* — *Ἡ Ἀνάληψις.* — *Ἡ κάθοδος τοῦ ἁγίου Πνεύματος.* — *Ἡ κοίμησις τῆς Θεοτόκου.*

Πρόσεχε δὲ πάντοτε ἵνα τὴν εἰκόνα τῆς τοῦ Κυρίου σταυρώσεως φέρῃς ἐν τῷ μέσῳ τοῦ εἰκονοστασίου. Ἂν δὲ τὸ εἰκονοστάσιον ἔχῃ ἔκτασιν πρόσθες καὶ τὴν *Μεταμόρφωσιν.* — *Ἔγερσιν τοῦ Λαζάρου Βαϊφόρου.* — Τὰ πρὸ τῆς σταυρώσεως πάθη, τὰ μετὰ τὴν Ἀνάστασιν τοῦ Κυρίου *θαύματα*, καὶ ἄλλα, ἃ καὶ ζήτει ἔμπροσθεν.

Ἐπιγραφαὶ εἰς τὰς θεομητορικὰς εἰκόνας καὶ ἄλλων ἁγίων.

§ 561. *Ἡ σύλληψις τῆς Θεοτόκου.* — *Ἡ γέννησις τῆς Θεοτόκου.* — *Τὰ εἰσόδια τῆς Θεοτόκου.* — *Τὰ νέα τάγματα τῶν ἀγγέλων.* — *Ἡ σύναξις τῶν Ἀσωμάτων.* — *Ἡ σύναξις τῶν Ἀποστόλων καὶ οἱ ἅγιοι Πάντες.*

ΤΕΛΟΣ ΚΑΙ ΤΩι ΘΕΩι ΔΟΞΑ.

Πληρώσας εἶπον, δόξα σοι τῷ Κυρίῳ.
Καὶ αὖθις εἶπον, δόξα σοι Κύριέ μου.
Καὶ τρίτον εἶπον, δόξα Θεῷ τῶν ὅλων.

